ΧΡ. Πῶς δ' οὐδὲν ὑγιές; ΒΛ. Εἴ τι κεκλοφὼς νὴ Δία, Ἐκεῖθεν ἥκεις ἀργύριον ἢ χρυσίον Παρὰ τῶ θεῶ· κἄπειτ' ἴσως σοι μεταμέλει.
ΧΡ. Ἄπολλον ἀποτρόπαιε· μὰ Δί', ἐγὼ μὲν οὔ.
ΒΛ. Παῦσαι φλυαρῶν· ὦ γάθ', οἶδα γὰρ σαφῶς.
ΧΡ. Σὺ μηδὲν εἰς ἐμ' ὑπονόει τοιοῦτον. ΒΛ. Φεῦ, Ὡς οὐδὲν ἀτεχνῶς ὑγιὲς ἐξιν οὐδενός· Ἀλλ' εἰσὶ τῇ κέρδους ἅπαντες ἥτονες.
ΧΡ. Οὗτοι μὰ τὴν Δήμητρ' ὑγιαίνειν μοι δοκεῖς.
ΒΛ. Ὦ πολὺ μεθέστηχ', ὧν πρότερον εἶχες, τρόπων.

ΣΧΟΛΙΑ.

331. Ἐπιτετρίφθαι.] Τοῦτο εἶπε φοβούμενος μὴ ἀποτυχὼν ἐγείρῃ τὸν Δία πρὸς ὀργὴν καὶ ἐπιτρίψῃ αὐτούς.
Τὸ παράπαν.] Ἀττικὸν τὸ καὶ μὲ' ἐκ ἀρκέσει ὡς προείρηται.
335. Πρὸς ἀνδρός.] Ἡ πρὸς ἐνταῦθα ἔστι περισσή ἐστιν ὡς οἱονεί τινες, ἔστε ἀντὶ τῆς ὑπὸ, κεῖται. ἀλλὰ τὸ καθῆκον σημαίνει· ὡς καὶ παρὰ Σοφοκλεῖ, ἐ πρὸς ἰατροῦ Σοφοῦ θρεῖν ἐπῳδάς.

ΧΡ. Μελαγχολᾷς, ὦ ἄνθρωπε, νὴ τὸν οὐρανόν.
ΒΛ. Ἀλλ' οὐδὲ τὸ βλέμμ' αὐτὸ κατὰ χώραν ἔχει·
Ἀλλ' ἔςιν ἐπίδηλόν τι πεπανουργηκότι.
ΧΡ. Σὺ μὲν οἶδ' ὃ κρώζεις· ὡς ἐμοῦ τι κεκλοφότος,
Ζητεῖς μεταλαβεῖν. ΒΛ. Μεταλαβεῖν ζητῶ; τίνος;
ΧΡ. Τόδ' ἐςὶν οὐ τοιοῦτον, ἀλλ' ἑτέρως ἔχον.
ΒΛ. Μῶν οὐ κέκλοφας, ἀλλ' ἥρπακας; ΧΡ. Κακοδαιμονᾷς.
ΒΛ. Ἀλλ' οὐδεμὴν ἀπεςέρηκας γ' οὐδένα;
ΧΡ. Οὐ δῆτ' ἔγωγ'. ΒΛ. Ὦ Ἡράκλεις· φέρε, ποί τις ἄν
Τράποιτο; τἀληθὲς γὰρ οὐκ ἐθέλεις φράσαι.
ΧΡ. Κατηγορεῖς γὰρ, πρὶν μαθεῖν τὸ πρᾶγμά μου.
ΒΛ. Ὦ τᾶν. ἐγώ σοι τοῦτ' ἀπὸ σμικροῦ πάνυ
Ἐθέλω διαπράξαι, πρὶν πυθέσθαι τὴν πόλιν,
Τὸ ςόμ' ἐπιβύσας κέρμασιν τῶν ῥητόρων.
ΧΡ. Καὶ μὴν φίλος γ' ἄν μοι δοκῇς, νὴ τοὺς θεοὺς,
Τρεῖς μνᾶς ἀναλώσας γε λογίσασθαι δώδεκα.
ΒΛ. Ορῶ τιν' ἐπὶ τοῦ βήματος καθεδούμενον,
Ἱκετηρίαν ἔχοντα, μετὰ τῶν παιδίων

ΣΧΟΛΙΑ.

349. Οἶδ' ὃ κρώζεις.] Παροιμία ἐπὶ τῶν θρυλλούντων ὡς αἱ κορῶναι. ἀντὶ τοῦ σὺ ἄνω καὶ κάτω περὶ τοῦ κεκλοφέναι μοι διαλέγῃ.

353. Ἀπεςήρηκας.] Ἀποςερῶ ἐςὶν ὅταν παρακαταθήκην τινὸς λαβὼν εἰς διαβολὴν χωρήσω. καὶ οὐκ ἐθέλω διδόναι αὐτῷ, ὁ ἔλαβον

363. Ἱκετηρίαν ἔχοντα.] Ἱκετηρία ἐςὶ κλάδος ἐλαίας ἐρίῳ πεπλεγμένος. οἱ γὰρ ἱκετεύοντες ἐλαίας κατεῖχον κλάδον.

Καὶ

346. The ancient physicians supposed that the kind of madness with which any one was possessed depended upon the colour of the bilis. There was atra bilis & splendida bilis. the word μελαγχολαω was derived from μελασ χολη. atra bilis. in Horace we have „Jussit quod splendida bilis.

359. This certainly alludes to the Athenian orators who at that time were by no means famous for their honesty. Some think this alludes to Demosthenes who having been bribed by Harpalus refused to plead saying he had a quinsey, it was said therefore that it was a silver quinsey. but this cannot be alluded to here as Aristophanes wrote this before Demosthenes was born.

361. γε ought to be erased, as the αλφα of ~~ought to be~~ ανᾱλωσας is long, γε spoils the metre

362. This is frequent in these plays, ορω τινα „I see somebody„ meaning the person he speaks to.

364. Thus in the Roman tryals we find "sordidi cum natis. —

375. ουκεσ. κορακασ. So in Horace we find non pascas in cruce corvos. or κοραξ is an instrument of punishment, mentioned by Lucian.

365. The scholiast give different accounts of Pamphilus, some making him a painter, & some a tragick writer, either sense here will do. διδαξαι. exhibited. tho it signifies doceo.. Vel qui prætextas vel qui docuere togat

Καὶ τῆς γυναικὸς· κἄ διοίσουτ' ἄντικρυς
Τῶν Ἡρακλειδῶν ἀδ' ὁτιῦν, τῶν Παμφίλου.
Χρ. Οὐκ, ὦ κακόδαιμον, ἀλλὰ τὰς χρηστὰς μόνας
Ἔγωγε, κὴ τὰς δεξιὰς κὴ σώφρονας
Ἀπαρτὶ πλυτῆσαι ποιήσω. Βλ. Τί σὺ λέγεις;
Οὕτω πάνυ πολλὰ κέκλοφας; Χρ. Οἴμοι τῶν κακῶν,
Ἀπολεῖς. Βλ. Σὺ μὲν ἦν σεαυτὸν, ὡς γ' ἐμοὶ δοκεῖς.
Χρ. Οὐ δῆτ'· ἐπεὶ τὸν Πλοῦτον, ὦ μόχθηρε σὺ,
Ἔχω. Βλ. Σὺ Πλοῦτον; ὁποῖον; Χρ. Αὐτὸν τὸν θεόν.
Βλ. Καὶ ποῦ 'στιν; Χρ. Ἔνδον. Βλ. Πῦ; Χρ. Παρ' ἐμοί. Βλ. Παρὰ σοί; Χρ. Πάνυ.
Βλ. Οὐκ ἐς κόρακας, Πλοῦτος παρὰ σοί; Χρ. Νὴ τὼ θεώ.
Βλ. Λέγεις ἀληθῆ; Χρ. Φημί. Βλ. Πρὸς τῆς Ἑστίας;
Χρ. Νὴ τὸν Ποσειδῶ. Βλ. Τὸν θαλάσσιον λέγεις;

ΣΧΟΛΙΑ.

365. Τῶν Παμφίλου.] Πάμφιλος ζωγράφος ἦν, ὃς τις τὰς Ἡρακλείδας ἐγραψεν, ἱκετεύοντας τὸν τῶν Ἀθηναίων δῆμον. μετὰ γὰρ θάνατον Ἡρακλέους, Εὐρυσθεὺς διώκει τὰς Ἡρακλείδας, διὰ τὸ πρὸς τὸν Ἡρακλέα τὸν ἐκείνων πατέρα ἐμφύλιον μίσος. ταύτην τὴν ἱστορίαν ἐγραψε Πάμφιλος τραγικός. κατὰ δέ τινας ζωγράφος ἦν, ὃς τὴν τῶν Ἡρακλειδῶν τύχην χαρακτῆρι ὑφηγήσατο. Καλλίστρατος δὲ κὴ Εὐφρόνιος τραγῳδιῶν ποιηταὶ φασι κὴ διδάξαι Ἡρακλείδας.

366. Οὐκ, ὦ κακόδαιμον.] Εἰ γὰρ ὡς φὴς ἐκεκλόφειν, φαῦλος ἦν ἂν τὸν τρόπον. φαῦλος δὲ ὤν, οὐκ ἂν παρέσχον ἂν ἄλλῳ τινί. νῦν δὲ τοῖς χρηστοῖς προῃρημένος εἶναι, δῆλον ὅτι ἀγαθός εἰμι. εἰ δὲ ἀγαθός, οὐ κέκλοφα.

ΧΡ. Εἰ δ' ἔςιν ἕτερός τις Ποσειδῶν, τὸν ἕτερον.
ΒΛ. Εἶτ' οὐ διαπέμπεις καὶ πρὸς ἡμᾶς τοὺς φίλους;
ΧΡ. Οὐκ ἔςι πω τὰ πράγματ' ἐν τούτῳ. ΒΛ. Τί φής;
Οὐ τῳ μεταδοῦναι; ΧΡ. Μὰ Δία, δεῖ γὰρ πρῶτα. ΒΛ. τί;
ΧΡ. Βλέψαι ποιῆσαι νῴ. ΒΛ. Τίνα βλέψαι; φράσον.
ΧΡ. Τὸν Πλοῦτον· ὥσπερ πρότερον ἑνί γε τῷ τρόπῳ.
ΒΛ. Τυφλὸς γὰρ ὄντως ἐςί; ΧΡ. Νὴ τὸν οὐρανόν.
ΒΛ. Οὐκ ἐτὸς ἄρ', ὡς ἔμ' ἦλθεν οὐδὲ πώποτε.
ΧΡ. Ἀλλ', ἢν θεοὶ θέλωσι, νῦν ἀφίξεται.
ΒΛ. Οὐκοῦν ἰατρὸν εἰσαγαγεῖν ἐχρῆν τινα;
ΧΡ. Τίς δῆτ' ἰατρός ἐςι νῦν ἐν τῇ πόλει;
Οὔτε γὰρ ὁ μισθὸς οὐδέν ἐς', οὔθ' ἡ τέχνη.
ΒΛ. Σκοπῶμεν. ΧΡ. Ἀλλ' οὐκ ἔςιν. ΒΛ. Οὐδ' ἐμοὶ δοκεῖ.
ΧΡ. Μὰ Δί'. ἀλλ' ὅπερ πάλαι παρεσκευαζόμην
Ἐγὼ, κατακλινεῖν αὐτὸν εἰς Ἀσκληπιοῦ
Κράτιςόν ἐςι. ΒΛ. Πολὺ μὲν οὖν, νὴ τοὺς θεούς.
Μή νυν διάτριβ'· ἀλλ' ἄνυε πράττων ἕν γέ τι.
ΧΡ. Καὶ δὴ βαδίζω. ΒΛ. Σπεῦδέ νυν. ΧΡ. Τοῦτ' αὐτὸ δρῶ.

878. ει δ'εστιν ετερος. for Neptune was wor=
=shipped under different names, There
was a Ποσειδαων ιπεος. which is the subject
of another play. — ——

883. εισ altho unus often signifies aliquis.

85. ετοσ is a pure Attick word — — — —

94. εν here is the same sense as line
ΘΕ.

395. The moral allegory here is very well carried on. The word θερρος is used in a bad sense with εργον, but in a good one with ανθρωπος.

397. She calls them back, for they were frightened by her dreadful appearance.

398. The expression κακους κακως is very frequent, Homer uses μεγας μεγαλως τε.

405. Virgil describes the Ἐριννυες as follows

Aut Agamemnonius scenis agitatus Orestes
armatam facibus matrem et serpentibus atris
Cum fugit, ultricesque sedent in limine Diræ.

404. It was reported that the representation of this play, which Aristophanes alludes to, was so horrid as to cause several women in the audience to miscarry. There were 50 furies represented.

ΔΡΑΜΑΤΟΣ ΔΕΥΤΕΡΟΥ

ΣΚΗΝΗ ΤΕΤΑΡΤΗ.

ΠΕΝΙΑ, ΧΡΕΜΥΛΟΣ, ΒΛΕΨΙΔΗΜΟΣ.

Ὦ Θερμὸν ἔργον, καὶνόσιον κὴ παράνομον,
Τολμῶντε δρᾶν ἀνθρωπαρίω κακοδαίμονε
Ποῖ, ποῖ; τί φεύγετον; ἢ μενεῖτον; ΧΡ. Ἡράκλεις.
ΠΕ. Ἐγὼ γὰρ ὑμᾶς ἐξολῶ κακὺς κακῶς.
Τόλμημα γὰρ τολμᾶτον, ὐκ ἀναισχετόν·
Ἀλλ' οἷον ὐδεὶς ἄλλο ὐδεπώποτε,
Οὔτε θεὸς, ἔτ' ἄνθρωπος· ὥστ' ἀπολώλατον.
ΧΡ. Σὺ δ' εἶ τίς; ὠχρὰ μὲν γὰρ εἶναί μοι δοκεῖς.
ΒΛ. Ἴσως Ἐριννύς ἐσιν ἐκ τραγῳδίας.
Βλέπει γέ τοι μανικόν τι κὴ τραγῳδικόν.
ΧΡ. Ἀλλ' ὐκ ἔχει γὰρ δᾷδας. ΒΛ. Οὐκοῦν κλαύσεται.
ΠΕ. Οἴεσθε δ' εἶναι τίνα με; ΧΡ. Πανδοκεύτριαν,
Ἢ λεκιθόπωλιν. ὐ γὰρ ἂν τοσουτονὶ

ΣΧΟΛΙΑ.

404. Ἴσως Ἐριννύς ἐσι.] Ἐπισκώπτει τὴν διὰ τῶν Ἐριννύων Αἰσχύλε ὑπόθεσιν. παρεισάγονται δὲ μετὰ λαμπάδων δεινοπαθοῦσαι, ὡς Εὐριπίδης γοργῶπες, νεκτέρων ἱέρειαι, δειναὶ θεαί. ἢ ἄλλως εἰώθασιν οἱ τραγῳδοὶ Ἐριννύας εἰσφέρειν, μετὰ λαμπάδων. κὴ γὰρ τὰ ἀποτρόπαια τῶν φαντασμάτων, τραγῳδοῖς μᾶλλον ἁρμόττει.

408. Ἢ λεκιθόπωλιν.] Ἀπὸ τῦ χρυσίζοντος ὠῦ, ὀπωλιν. λέκιθος δὲ κυρίως, τὸ ξανθὸν τῦ ὠῦ, διὰ τὸ τῷ λέπει κεύθεσθαι.

Ἐπέκραγες

Ἐνέκραγες ἡμῖν, οὐδὲν ἠδικημένη.

ΠΕ. Ἄληθες; ἃ γὰρ δεινότατα δεδράκατον,
Ζητοῦντες ἐκ πάσης με χώρας ἐκβαλεῖν;

ΧΡ. Οὐκοῦν ὑπόλοιπον σοι τὸ βάραθρον γίνεται.
Ἀλλ' ἤ τις εἶ, λέγειν ἐχρῆν σ' αὐτίκα μάλα.

ΠΕ. Ἢ σφῷ ποιήσω τήμερον δῆναι δίκην,
Ἀνθ' ὧν ἐμὲ ζητεῖτον ἐνθένδ' ἀφανίσαι.

ΒΛ. Ἆρ' ἐστὶν ἡ καπηλὶς ἢ 'κ τῶν γειτόνων,
Ἡ ταῖς κοτύλαις ἀεί με διαλυμαίνεται;

ΠΕ. Πενία μὲν ἔν, ἢ σφῶν ξυνοικῶ πόλλ' ἔτη.

ΒΛ. Ἄναξ Ἄπολλον, κἀθεοί· ποῖ τις φύγοι;

ΧΡ. Οὗτος; τί δρᾷς, ὦ δειλότατον σὺ θηρίον,
Οὐ παραμενεῖς; ΒΛ. Ἥκιστα πάντων. ΧΡ. Οὐ μενεῖς;
Ἀλλ' ἄνδρε δύο γυναῖκα φεύγομεν μίαν;

ΒΛ. Πενία γάρ ἐστιν, ὦ πόνηρ· ἧς ὐδαμοῦ
Οὐδὲν πέφυκε ζῶον ἐξωλέστερον.

ΧΡ. Στῆθ', ἀντιβολῶ σε, στῆθι. ΒΛ. Μὰ Δί', ἐγὼ μὲν οὔ.

ΧΡ. Καὶ μὴν λέγω, δεινότατον ἔργον παραπολὺ
Ἔργων ἁπάντων ἐργασόμεθ', εἰ τὸν θεὸν

ΣΧΟΛΙΑ.

412. Τὸ βάραθρον.] Χάσμά τι φρεατῶδες καὶ σκοτεινὸν ἐν τῇ Ἀττικῇ, ἐν ᾧ τὸς κακούργους ἔβαλλον. ἐν δὲ τῷ χάσματι τούτῳ ὑπῆρχον ὀγκίνοι, οἱ μὲν ἄνω, οἱ δὲ κάτω.

416. Καπηλίς.] Κάπηλις προπαροξυτόνως ἡ τὸν οἶνον πιπράσκουσα δηλοῖ, ἀπὸ τοῦ καπύειν ὅ ἐστι τελεῖν τὸν πηλὸν, ἤτοι τὸν οἶνον, καπηλὶς δὲ ὀξυτόνως ὑποκοριστικῶς, ἡ ταύτης ὑπηρετὶς τῆς καπήλεως.

417. Ἢ ταῖς κοτύλαις.] Ἀντὶ τοῦ παρακλέπτουσά με ταῖς κοτύλαις. ἤτις φησὶ μικρομετροῦσά με βλάπτει.

Ἔρημον

411. Βαραθρον. Vide Potter.

418. In other editions we find ουν in this
ne but it is better left out.

23. Horace has this sentiment.
er mare Pauperiem fugimus per saxa per ignes.

16 in the Scholiast. απο τουϛ answers to
he cauponibus malignis of Horace;
r F observes that malignus signifies scanty
nd does not answer to malignant.

427. φευξουμεθα. This is evidently an Attic future, as well as Doric. Thus in Demosthenes we have, "ποι πλευσουμεθα.

431. ουκ·ενεχυρον. This alludes to the custom among the Athenians which made it very disgraceful to sell or pawn their arms, as they served in rotation.

433. τροπαιον τροπων. This is certainly meant as a pun, which is frequent in Comick writers. Thus Plautus - "Dent Pœnis pœnas." The h has crept imperceptibly into the Latin and English words derived from this. τροπαιον viz. trophæum, & trophy.

428. ερα is the earth. we find in Homer ερασε. In all likelihood our word earth is derived from it. and from ερεμιτης comes Hermit. — — — —

Ἔρημον ἀπολιπόντε ποι φευξούμεθα,
Τηνδὶ δεδιότε. μηδὲ διαμαχούμεθα.
ΒΛ. Ποίοισιν ὅπλοις ἢ δυνάμει πεποιθότε;
Ποῖον γὰρ οὐ θώρακα, ποίαν ἀσπίδα;
Οὐκ ἐνέχυρον τίθησιν ἡ μιαρωτάτη;
ΧΡ. Θάῤῥει. μόνος γὰρ οὗτος (οἶδ') ὁ θεὸς, ὅτι
Τροπαῖον ἀναστήσαιτο τῶν ταύτης τρόπων.
ΠΕ. Γρύζειν δὲ καὶ τολμᾶτον, ὦ καθάρματε,
Ἐπ' αὐτοφώρῳ δεινὰ δρῶντ' εἰλημμένω;
ΧΡ. Σὺ δ', ὦ κάκιστ' ἀπολουμένη, τί λοιδορεῖ
Ἡμῖν προσελθοῦσ', οὐδ' ὁτιοῦν ἀδικουμένη;
ΠΕ. Οὐδὲν γὰρ, ὦ πρὸς τῶν θεῶν, νομίζετον
Ἀδικεῖν με, τὸν Πλοῦτον ποιεῖν πειρωμένω
Βλέψαι πάλιν; ΧΡ. Τί οὖν ἀδικοῦμεν τοῦτό σε·
Εἰ πᾶσιν ἀνθρώποις πορίζομεν ἀγαθόν.
ΠΕ. Τίδ' ἄν γ' ὑμεῖς ἀγαθὸν ἐξεύροιθ'; ΧΡ. Ὅ,τι;

Τι δητ' αν Δ^ν Β ΣΧΟΛΙΑ.

428. Ἔρημον.] Ἔρημος κυρίως ἡ μονωθεῖσα τῶν ἐνοικούντων γῆ παρὰ τὴν ἔραν, ὃ σημαίνει τὴν γῆν.

Ἀπολιπόντέ ποι.] Τό ποι ἐνταῦθα, οὐκ ἔστιν ἐρωτηματικόν· ἀλλ' ἀόριστον. ἐπὶ μὲν γὰρ κινήσεως μόνον τὸ ποὶ διὰ τῆς ο καὶ ι διφθόγγου γράφεται. διὰ δὲ τοῦ η γραφόμενον καὶ ἐπὶ στάσεως καὶ κινήσεως τίθεται.

434. Τροπαῖον.] Ἔστι τρόπαιον ὃ ἐν ταῖς νίκαις οἱ παλαιοὶ ἐποίουν, τοῖχον ἢ λίθον μέγαν ἱστάντες, καὶ γράφοντες ἐν τούτῳ ἃ κατὰ τῶν ἀντιπάλων ἔργα δεδράκασιν. ἐκαλεῖτο δὲ τρόπαιον διὰ τὸ ἐπὶ τῇ τροπῇ τῶν ἐχθρῶν γεγενῆσθαι.

435. Ὦ καθάρματε.] Καθάρματα ἐλέγοντο οἱ ἐπὶ καθάρσει λιμοῦ τινὸς, ἤ τινος ἑτέρας νόσου θυόμενοι τοῖς θεοῖς. τοῦτὶ δὲ τὸ ἔθος καὶ παρὰ Ῥωμαίοις ἐπεκράτησε. λέγεται δὲ καὶ καθαρισμός.

437. Τί λοιδορεῖ.] Τὸ λοιδορεῦμαι παθητικῶς δοτικῇ συντάσσεται, ἐνεργητικῶς δὲ αἰτιατικῇ, εἰ καί τινες ἀγνοοῦντες λοιδορεῖς ἐνταῦθα γράφουσιν, τὸ ἡμῖν πρὸς τὸ προσελθοῦσα συνάπτοντες.

Σὲ

Σὲ πρῶτον ἐκβαλόντες ἐκ τῆς Ἑλλάδος.
ΠΕ. Ἐμ' ἐκβαλόντες; κ᾽ τί ἂν νομίζετον
Κακὸν ἐργάσασθαι μεῖζον ἀνθρώπους; ΧΡ. Ὀλί;
Εἰ τοῦτο δρᾶν μέλλοντες, ἐπιλαθοίμεθα.
ΠΕ. Καὶ μὴν περὶ τούτου σφῷν ἐθέλω δοῦναι λόγον
Τὸ πρῶτον αὐτοῦ· κἂν μὲν ἀποφήνω, μόνην
Ἁγαθῶν ἁπάντων ὖσαν αἰτίαν ἐμὲ
Ὑμῖν, δι' ἐμέ τε ζῶντας ὑμᾶς. εἰ δὲ μή,
Ποιεῖτον ἤδη τοῦθ', ὅτι γ' ἂν ὑμῖν δοκῇ.
ΧΡ. Τοῦτὶ σὺ τολμᾷς, ὦ μιαρωτάτη, λέγειν;
ΠΕ. Καὶ σύ γε διδάσκου· πάνυ γὰρ οἶμαι ῥᾳδίως
Ἀπανθ' ἁμαρτάνοντά σ' ἀποδείξειν ἐγώ,
Εἰ τὰς δικαίους φὴς ποιήσειν πλησίους.
ΒΛ. Ὦ τύμπανα κ᾽ κύφωνες, οὐκ ἀρήξετε;
ΠΕ. Οὐ δεῖ σχετλιάζειν κ᾽ βοᾶν, πρὶν ἂν μάθῃς.
ΒΛ. Καὶ τίς δύναιτ' ἂν μὴ βοᾶν, ἰὺ, ἰύ,
Τοιαῦτ' ἀκούων; ΠΕ. Ὅς τις ἐστὶν εὖ φρονῶν.

ΣΧΟΛΙΑ.

449. Τὸ πρῶτον αὐτοῦ.] Τὸ αὐτοῦ ἐπιῤῥηματικῶς ἀντὶ τοῦ ἐνταῦθα. ἢ ζυναπτε τῷ τούτῳ, ἵν' ᾖ περὶ αὐτοῦ τούτου, ἐκ παραλλήλου τὸ αὐτό.

450. Οὖσαν αἰτίαν ἐμέ.] Ἰσέον ὅτι ἡ Ἀττικὴ ἔλλειψις ἤτοι ἐν ἀρχῇ γίνεσθαι ὡς τὸ, ὅπως μὴ ποιήσῃς τόδε. νοουμένου ἔξωθεν τοῦ σκόπει. ἢ ἐν τῷ τέλει ὡς ἔχει τὸ ἐν Νεφέλαις. ἢ ἐν τῇ μέσῃ ὡς τὸ παρ' Ὁμήρῳ. Ἀλλ' εἰ μὲν δώσουσι γέρας μεγάθυμοι Ἀχαιοὶ, λείπει γὰρ τὸ παύσομαι ἢ ἡσυχάσω. τὸ δὲ σχῆμα καλεῖται ἀνανταπόδοτον. ᾧ κ᾽ νῦν Ἀριστοφάνης ἐχρήσατο. ἐ γὰρ ἀποδέδωκε τὴν σύνταξιν ἐνταῦθα. ἔδει γὰρ εἰπεῖν, κἂν μὲν ἀποφήνω μόνην ἐμὲ ἀγαθῶν ὖσαν αἰτίαν, ἐάσατε. εἰ δὲ μὴ, ποιεῖτον ὅτι ἂν ὑμῖν δοκῇ

ΧΡ

447. δουναι λογον generally signifies, to give another leave to defend himself. It is generally used in Demosthenes.

456. Dr Bentley to mend the rim of the line, reads ω τυρραν' ω κυφωνες. The κυφων answers to furca in Latin whence comes furcifer.

46y. This scene is a very laboured one, the defence which πενια makes is vastly ingenious. This metre is so frequent in Aristophanes that it is frequently called Aristophanick. -

x The Athenians being a very litigious people it was judged necessary by their Lawgivers Solon &c. to make all Law-business as expensive as possible.

Χρ. Τί δῆτά σοι τίμημ' ἐπιγράψω τῇ δίκῃ, 460
Ἐάν γ' ἁλῶς. Πε. Ὅ,τι σοι δοκεῖ. Βλ. Καλῶς λέγεις.

Πε. Τὸ γὰρ αὐτό γ' ἔαν ἡτ]ᾶθε κ) σφῷ δεῖ παθεῖν.
Βλ. Ἱκανὲς νομίζεις δῆτα θανάτες εἴκοσιν;
Χρ. Ταύτῃ γε. νῷν δὲ δὶ' ἀποχρήσεσιν μόνω.
Πε. Οὐκ ἂν φθάνοιτον τῦτο πράτλοντ'. ἤ τί γ' ἂν 465
Ἔχοι τις ἂν δίκαιον ἀντειπεῖν ἔτι.

ΔΡΑΜΑΤΟΣ τῦ ΔΕΥΤΕΡΟΥ
ΣΚΗΝΗ ΠΕΜΠΤΗ.

ΧΟΡΟΣ, ΧΡΕΜΥΛΟΣ, ΒΛΕΨΙΔΗΜΟΣ. ΠΕΝΙΑ.

Ἀλλ' ἤδη χρῆν τι λέγειν ὑμᾶς σοφὸν, ᾧ νικήσετε τηνδί,
Ἐν τοῖσι λόγοις ἀνιλιλέγοντες· μαλακὸν δ' ἐνδώσετε μηδέν.

ΣΧΟΛΙΑ.

460. Τῇ δίκῃ.] Ἐθος ἦν πάλαι τοῖς δικαζομένοις γράφειν πρὸ τῆς κρίσεως ὡς τιμωρίαν ἠτιμωμένοις δοίη, εἶτα δὲ ἐπιγράφειν, τυτέσιν ἐπὶ τῇ προτέρα γραφῇ κ) τῦτο γράφειν, ὡς κ) τοιάνδε τιμωρίαν, ἢ βίᾳ τυχὸν ἀφαίρεσιν ἢ κεφαλῆς.

465. Τῦτο πράτλοντες.] Ἀντὶ τῦ ἀποθανόντες. ἐκ ἄν, φησιν, ἀναβάλοισθε ἀποθανόντες.

467. Ἀλλ' ἤδη χρῆν τι λέγειν.] Τὸ μέτρον ἀναπαιστικὸν τετράμετρον καταληκτικὸν εἰς συλλαβήν. δέχεται δὲ τὸ ἀναπαιστικὸν καὶ πάσας χώρας ἀνάπαιστον, σπονδεῖον, κ) δάκτυλον παρὰ τοῖς δραματοποιοῖς, σπανίως δὲ κ) προκελευσματικόν.

468. Μαλακὸν δ' ἐνδώσετε μηδέν.] Ἡρόδοτος ἐν Θαλείᾳ. τὰς δὲ θηλέας ἀναμιμνησκομένας ὧν ἔλιπον τέκνων, ἐνδιδύναι μαλακὸν ὐδέν.

ΧΡ. Φανερὸν μὲν ἔγωγ' οἶμαι γνῶναι, τοῦτ' εἶναι πᾶσιν ὁμοίως,
Ὅτι τοὺς χρηστοὺς τῶν ἀνθρώπων εὖ πράττειν ἔστι δίκαιον·
Τοὺς δὲ πονηροὺς καὶ τοὺς ἀθέους, τούτων τἀναντία δήπου.
Τοῦτ' ἂν ἡμεῖς ἐπιθυμοῦντες, μόλις εὕρομεν ὥς τε γενέσθαι,
Βέλημα καλὸν, καὶ γενναῖον, καὶ χρήσιμον εἰς ἅπαν ἔργον.
Ἦν γὰρ ὁ Πλοῦτος νυνὶ βλέψῃ, καὶ μὴ τυφλὸς ὢν περινοσῇ,
Ὡς τοὺς ἀγαθοὺς τῶν ἀνθρώπων βαδιεῖται, κἀκ ἀπολείψει,
Τοὺς δὲ πονηροὺς καὶ τοὺς ἀθέους φευξεῖται. κἄτα ποιήσει
Πάντας χρηστοὺς καὶ πλουσίους δήπου, τά τε θεῖα σεβοῦντας.
Καί τοι τούτου τοῖς ἀνθρώποις τίς ἂν ἐξεύροι πότ' ἄμεινον;

ΒΛ. Οὔ τις ἄν. ἐγώ σοι τοῦτο μάρτυς· μηδὲν ταύτην γ' ἀνερώτα.

ΧΡ. Ὡς μὲν γὰρ νῦν ἡμῖν ὁ βίος τοῖς ἀνθρώποις διάκειται,
Τίς ἂν ἔχ ἡγοῖτ' εἶναι μανίαν, κακοδαιμονίαν τ' ἔτι μᾶλλον;

ΣΧΟΛΙΑ.

473. Βέλημα καλόν.] Βέλευμα μὲν τὸ ἴδιον. βέλημα δὲ τὸ δημόσιον ἡ γνώμη, καί τοι ἐν τοῖς παλαιοῖς τῶν Σοφοκλείων ἀντιγράφων, ἡ καὶ τὸ βέλημ' ὡς ἐπ' Ἀργείοις τὸ δ' ἦν, εὑρηται, οὐχὶ βέλευμα.

Πολλοὶ

The close of all these lines would close
exameters.

475 αγαθουσ ανθρωπων is not the same as
αγαθοι ανθρωποι. but it means boni ex homi-
nibus.

479. The ar here ought to be erased.

473. The line quoted here is found in the Ajax
of Sophocles. — — — —

482. πολλοι ανθρωπων. Vide line 475.

485. Dr B. would take the circumflex from ουκουν so to make it signify Non. and nν into ν.αν.

488. ξυνθιασωτα is compounded of ξυνθιασος which signifies a company of mad Bacchanalians.

489. ȣ is properly placed here, if it was prose it should be put before φηρι so that it is not for metre sake.

494. Dr Bentley alters σκυτοδεψειν into σκυ=λοδεψειν. because σκυτος is certainly long and is used so in this line. — —

Πολλοὶ μὲν γὰρ τῶν ἀνθρώπων ὄντες πλουτοῦσι πονηροὶ,
Ἀδίκως αὐτὰ ξυλλεξάμενοι. πολλοὶ δ' ὄντες πάνυ χρηστοὶ,
Πράττουσι κακῶς, καὶ πεινῶσιν, μετὰ σοῦ τε τὰ πλεῖστα σύνεισιν.
Οὐκοῦν εἶναί φημι, ἢ παύσει ταῦτ', ἢν βλέψῃ ποθ' ὁ Πλοῦτος,
Ὁδὸν, ἥν τιν' ἰὼν, τοῖς ἀνθρώποις ἀγαθὸν ἂν μείζω πορίσειεν.

ΠΕ. Ἀλλ' ὦ πάντων ῥᾳ̃ς' ἀνθρώπων ἀναπειθέντ' οὐχ ὑγιαίνειν,
Δύο πρεσβύτα, ξυνθιασώτα τοῦ ληρεῖν καὶ παραπαίειν·
Εἰ τοῦτο γένοιθ', ὃ ποθεῖθ' ὑμεῖς, ἅ φημ' ἂν λυσιτελεῖν σφῷν.
Εἰ γὰρ ὁ Πλοῦτος βλέψειε πάλιν, διανείμειέ τ' ἴσον ἑαυτοῦ,
Οὔτε τέχνην ἂν τῶν ἀνθρώπων, ἔτ' ἂν σοφίαν μελετῴη
Οὐδείς, ἀμφοῖν δ' ὑμῖν τούτοιν ἀφανισθέντοιν, ἐθελήσει
Τὶς χαλκεύειν, ἢ ναυπηγεῖν, ἢ ῥάπτειν, ἢ τροχοποιεῖν,
Ἢ σκυτοτομεῖν, ἢ πλινθουργεῖν, ἢ πλύνειν, ἢ σκυτοδεψεῖν,

ΣΧΟΛΙΑ.

489. Εἰ τοῦτο γένοιθ'.] Εἰ γὰρ ὁ Πλοῦτος βλέψειε πάλιν, διανέμειέ τ' ἴσον ἑαυτοῦ πᾶσι δηλονότι, ἐκ οἶδεν ἡ Πενία τὴν Χρεμύλου γνώμην καὶ τὴν τοῦ Πλούτου, ὅτι πρὸς μονοὺς τοὺς δικαίους ἥξει.

491. Σοφίαν μελετῴη.] Σοφίαν ἐνταῦθα καλεῖ τὴν περὶ τὰς τέχνας πανουργίαν καὶ μηχανὴν, τέχνην δὲ τὴν μεταχείρισιν αὐτὴν καὶ ἐνέργειαν.

Ἢ γῆς ἀρότροις ῥῆξας δάπεδον, καρπὸν Δηῶς θερί-
σασθαι;
Ἢν ἐξῇ ζῆν ἀργοῖς ὑμῖν τούτων πάντων ἀμελοῦσιν;
ΧΡ. Λῆρον ληρεῖς. ταῦτα γὰρ ἡμῖν πάνθ' ὅσα νυνὶ κατέλεξας,
Οἱ θεράποντες μοχθήσουσιν. ΠΕ. Πόθεν οὖν ἕξεις θε-
ράποντας;
ΧΡ. Ὠνησόμεθ' ἀργυρίῳ δήπου. ΠΕ. Τίς δ' ἔσαι
πρῶτον ὁ πωλῶν,
Ὅταν ἀργύριον κἀκεῖνος ἔχῃ; ΧΡ. Κερδαίνειν βουλό-
μενός τις
Ἔμπορος, ἥκων ἐκ Θετταλίας παρὰ πλείσων ἀνδρα-
ποδιστῶν.
ΠΕ. Ἀλλ' οὐδ' ἔσαι πρῶτον ἁπάντων οὐδείς, οὐδ'
ἀνδραποδιστής,
Καλὰ τὸν λόγον, ὃν σὺ λέγεις, δήπου. τίς γὰρ πλουτῶν
ἐθελήσει,
Κινδυνεύων περὶ τῆς ψυχῆς τῆς αὐτοῦ, τοῦτο ποιῆσαι;

ΣΧΟΛΙΑ.

497. Λῆρον ληρεῖς.] Ἀντὶ τοῦ κατὰ λῆρον. Ἀττικὴ ἡ φράσις καὶ τὸ σχῆμα. ὡς τὸ μανίαν μαίνῃ, καὶ φυγὴν φεύγεις. καὶ ὅλως ἐφ' ὧν τῷ πράγματι ἐπάγεται τὸ ἀπὸ τοῦ πράγματος ῥῆμα, ὡς τὸ ὕβριν ὑβρίζεις, καὶ φυγὴν φεύγεις.

501. Ἔμπορος ἥκων.] Ἔμπορος ὁ πραγματευτὴς ἄνθρωπος. κυρίως δὲ ὁ πλέων θάλασσαν, παρὰ τὸ πόρος. πόρος δὲ κυρίως ἐπὶ ὑγρᾶς λέγεται. καὶ εὔπορος ὁ ἔχων ἀεὶ τὸν ἐπιρρέοντα πλοῦτον ἐκ μεταφορᾶς τοῦ ὑδατικοῦ πόρου. διαβάλλονται δὲ οἱ Θετταλοὶ, ὡς ἀνδραποδισαὶ καὶ ἄπιστοι. ἀεὶ γὰρ τὰ Θετταλῶν ἄπιστα, ἡ παροιμία φησίν. Εὐριπίδης. Πολλοὶ παρῆσαν, ἀλλ' ἄπιστοι Θετταλοί. δῆλον δὲ καὶ ἀπὸ Ἰάσωνος ὃς ἠνδραπόδισε τὴν Μήδειαν. ἀνδράποδον δὲ εἴρηται ὁ πρὸς ὁ ἐν ἀνδράσιν. ἀπὸ τοῦ ὑποκειμένου μέρους τῷ ὅλῳ. ὑπόκειται γὰρ ὁ οἰκέτης τῷ δεσπότῃ, καθάπερ ὁ πρὸς τῷ ὅλῳ σώματι.

Ὡς

495. This line is remarkably laboured & as the
lling the earth is of most consequence to mankind
here is a whole line taken up in the expression
f it, which is not with regard to other arts.
The line has a remarkable stubborness in it
o express the stubborness of the ground
it also is like many other lines in the apology
f πενια above the common run of comedy
ccording to the rule of Horace.

"Interdum tamen et vocem comoedia tollit.
Hor. Ars. Poe.

501. Bp. Hare would alter this into παρ'απιστα
but it is quite unnecessary tho' it answers
to the character given of them by Demosthenes
α απιστα των Θετταλων. απλειστων is another
lteration.

Vide Schol. Dr F. thinks this definition is
not true as πορος signifies census or vectigal.

508. Εἰς κεφαλὴν σοι. This is the same kind of sentiment as that in Ovid.

"Eveniant nostris hostibus illa precor

others imagine that this alludes to the Egyptian custom of cutting off the head of the victim at sacrifices, which they threw into the Nile & prayed that all the anger of the gods might fall upon that.

510. This kind of expression we find in Horace.

"nec purpurarum sidere clarior

Delevit usus.

Ὡς αὐτὸς ἀρὴν ἐπαναλαθεὶς, καὶ σκάπτειν τἄλλά τε μοχθεῖν,
Ὀδυνηρότερον τρίψεις βίοτον πολὺ τοῦ νῦν. ΧΡ. Ἐς κεφαλήν σοι.
ΠΕ. Ἔτι δ' οὐχ ἕξεις ὅτ' ἐν κλίνῃ καταδαρθεῖν· οὐ γὰρ ἔσονται.
Οὐδε τάπησιν. τίς γὰρ ὑφαίνειν ἐθελήσει, χρυσίου ὄντος;
Οὔτε μύροισιν μυρίσαι σακλοῖς, ὁπόταν νύμφην ἀγάγηθον.
Οὐθ' ἱματίων βαπλῶν δαπάναις κοσμῆσαι ποικιλομόρφων.
Καί τοι τὶ πλέον πλυτεῖν ἐσιν, πάντων τούτων ἀπορῶντας;
Παρ' ἐμοῦ δ' ἔσιν ταῦτ' εὔπορα πάνθ' ὑμῖν, ὧν δεῖθον. ἐγὼ γὰρ
Τὸν χειροτέχνην, ὥσπερ δέσποινι, ἐπαναλάζυσα κάθημαι,
Διὰ τὴν χρείαν, καὶ τὴν πενίαν, ζητεῖν ὁπόθεν βίον ἕξει.
ΧΡ. Σὺ γὰρ ἂν πορίσαι τί δύναι ἀγαθὸν, πλὴν φώδων ἐκ βαλανείου,

ΣΧΟΛΙΑ.

515. Πλὴν φώδων ἐκ βαλανείου.] Φλυκλαίνων. ἐκ βαλανείου δέ, διὰ τὸ τοὺς πένητας ἀπορῶντας ἐνδυμάτων, διὰ τὸ ψύχος ἐν βαλανείοις καθεύδειν, καὶ ἐκ θέρμης τοῦ ἀέρος αὐτοὺς ἐξιόντας παραχρῆμα προσβαλόντος φλυκταίνας ποιεῖν. Ἀπολλόδωρος τὰ ἐκ τοῦ πυρὸς ἐρυθήματα, ἢ ἐκ ψύχους ἢ τοὺς τύλους καὶ τὰ ἐπικαύματα τὰ ἐκ τοῦ πυρὸς, ὡς τῶν πενήτων διὰ τὸ αὐτουργεῖν τοῦτο πασχόντων.

Καὶ

Καὶ παιδαρίων ὑποπεινώντων, καὶ γραϊδίων κολοσυρτὸν,
Φθειρῶν τ' ἀριθμὸν, καὶ κωνώπων καὶ ψυλλῶν (ὐδὲ λέγω σοι
Ὑπὸ τοῦ πλήθους,) αἱ βομβοῦσαι περὶ τὴν κεφαλὴν ἀνιῶσιν,
Ἐπεγείρουσαι καὶ φράζουσαι, πεινήσεις. ἀλλ' ἐπανίσω.
Πρὸς δέ γε τούτοις, ἀνθ' ἱματίου μὲν ἔχειν ῥάκος,
ἀντὶ δὲ κλίνης
Στιβάδα σχοίνων, κόρεων μεστὴν, ἢ τοὺς εὕδοντας ἐγείρει.
Καὶ φορμὸν ἔχειν ἀντὶ τάπητος σαπρὸν. ἀντὶ δὲ προσκεφαλαίου,
Λίθον ἐυμεγέθη πρὸς τῇ κεφαλῇ· σιτεῖσθαι δ', ἀντὶ μὲν ἄρτων,
Μαλάχης πτόρθους· ἀντὶ δὲ μάζης, φύλλ' εἰ ἰσχνῶν ῥαφανίδων·
Ἀντὶ δὲ θράνους, ζάμυα κεφαλὴν κατεαγότος· ἀντὶ δὲ μάκρας,
Πιθάκνης πλευράν, ἐρρωγυῖαν καὶ ταύτην; ἆρά γε πολλῶν
Ἀγαθῶν πᾶσιν τοῖς ἀνθρώποις ἀποφαίνω σ' αἰτίαν οὖσαν;

ΣΧΟΛΙΑ.

525. Ἀντὶ δὲ μάκτρας.] Μάκτρα, κατὰ τοὺς παλαιοὺς, σκεῦος ἐπιμήκης, ἐν ᾧ μάττουσι τὰ ἄλευρα, ὅθεν καὶ γίνεται. παρὰ τὸ μάσσω γὰρ ἡ μάκρα. ὅθεν καὶ μεμαγμένον προείρηται. καὶ ἡ μάζα γίνεται, πενίας δὲ πάντως δῶρον καὶ ἡ τοιαύτη μάκρα ἢ ἐκ πιθάκνης. καὶ ἐδὲ αὐτῆς δίολα συνεχοῦς, ἀλλὰ διερρωγυίας τὴν πλευράν, ἐν ᾗ τὸ μάγμα γίνεται.

ΠΕ.

52 βπιθακνη is a diminutive from πιθος
e find a word of the same termination
hich is also a diminutive in Callimachus
ξανθοιο πολικνης.

Pro μεμαγμενον vide line 292.

528. υπεκρουσω. a metaphor taken from an instrument. this word is used by Aristophanes in other places with a different sense. viz verbis increpare.

533. προσεχοντα; τον νουν subauditur.

535. μακαριτις generally signifies "of blessed memory". Callimachus uses it. "ατροφος α μακαριτις. — — — — —

536. This line is supposed to allude to Aristides who was said not to leave behind him sufficient for his burial. Scho. φυλη was a strong citadel on the frontier of Attica. — — — — —

ΠΕ. Σὺ μὲν ἐ τὸν ἐμὸν βίον εἶρηκας, τὸν δὲ πλωχῶν δ' ὑπεκρέσω.

ΧΡ. Οὐκοῦν δήπου τῆς πλωχείας πενίαν φαμὲν εἶναι ἀδελφήν.

ΠΕ. Ὑμεῖς γ', οἵπερ κ) Θρασυβύλῳ Διονύσιον εἶναι ὅμοιον.

Ἀλλ' ἔχ οὑμός τοῦτο πέπονθεν βίος· ἐ μὰ Δί· ἐδέ γε μέλλει.

Πτωχὸς μὲν γὰρ βίος, ὃν σὺ λέγεις, ζῆν ἐσιν μηδὲν ἔχοντα·

Τῷ δὲ πένητος, ζῆν φειδόμενον, κ) τοῖς ἔργοις προσέχοντα·

Περιγίγνεσθαι δ' αὐτῷ μηδὲν, μὴ μέν τοι μηδ' ἐπιλείπειν.

ΧΡ. Ὡς μακαρίτην, ὦ Δάματερ, τὸν βίον αὐτοῦ κατέλεξας·

Εἰ φεισάμενος κ) μοχθήσας καταλείψει μηδὲ ταφῆναι.

ΣΧΟΛΙΑ.

530. Οἵπερ κ) Θρασυβύλῳ.] Τὰ μὴ ὅμοιά φησιν. ὡς εἴτις λέγει Διονύσιον τὸν ἐξώλη τύραννον, ἐοικέναι Θρασυβύλῳ τῷ Λύκου, ἀνδρὶ φιλοπόλιδι κ) παντὸς κρείττονι λόγου, διά τε τὰς ἐπιφανεῖς αὐτοῦ κατὰ τῶν πολεμίων δίκας, κ) διότι κατέλυσε τὴν τῶν λ τυραννίδα. ἐύπορος γὰρ ὢν κ) ἐξ αὐτῶν ἐκπεσών, μετὰ ταῦτα φυλὴν καλαλαβὼν, καθεῖλεν αὐτούς.

534. Περιγίνεσθαι δ' αὐτῷ.] Περιγίνεσθαι σημαίνει μὲν κ) τὸ νικᾶν. σημαίνει δὲ κ) τὸ περιτρέφειν ὡς ἐνταῦθα.

535. Ὡς μακαρίτην ὦ Δάματερ.] Ὅτι ἁπλῶς κ) ἀσυνήθως κατεχρήσατο ἀντὶ τοῦ μακάριον. εἰμὴ ἄρα παίζει οἷον νεκρόβιον. ἄλλως. ὥσπερ εἰώθασιν Ἕλληνες, ἐπειδάν τι παράδοξον ἀκούσωσι, σχετλιάζειν κ) βοᾷν Ἡράκλεις, ἢ Ἄπολλον, ἢ ὦ Ζεῦ· ὕτω κ) ὅτος ἀκούσας τῆς Περίας τοιαῦτα λεγούσης, ὥσπερ σχετλιάζων βοᾷ, ὦ Δάματερ· εἰκότως δὲ πρὸς τὴν γῆν ποιεῖται τὸν λόγον ὡς γεωργός.

ΠΕ.

ΠΕ. Σκώπτειν πειρᾷ, καὶ κωμῳδεῖν, τοῦ σπουδάζειν ἀμελήσας·
Οὐ γινώσκων, ὅτι τοῦ πλούτου παρέχω βελτίονας ἄνδρας
Καὶ τὴν γνώμην, καὶ τὴν ἰδέαν. παρὰ τῷ μεν γὰρ ποδαγρῶντες,
Καὶ γαστρώδεις, καὶ παχύκνημοι, καὶ πίονές εἰσιν ἀσελγῶς.
Παρ' ἐμοὶ δ' ἰσχνοὶ, καὶ σφηκώδεις, καὶ τοῖς ἐχθροῖς ἀνιαροί.

ΧΡ. Ὑπὸ τοῦ λιμοῦ γὰρ ἴσως αὐτοῖς τὰ σφηκῶδες σὺ πορίζεις.

ΠΕ. Περὶ σωφροσύνης ἤδη τοίνυν περανῶ σφῷν, κἀναδιδάξω
Ὅτι κοσμιότης οἰκεῖ μετ' ἐμοῦ. τοῦ πλούτου δ' ἔστιν ὑβρίζειν.

ΧΡ. Πάνυ γοῦν κλέπτειν κόσμιόν ἐστιν, καὶ τοὺς τοίχους διορύττειν;

ΣΧΟΛΙΑ.

539. Ποδαγρῶντες] Τοιοῦτοι γὰρ οἱ πλούσιοι γίνονται ὑπὸ τῆς τρυφῆς, ὅπερ ἀσελγείας καὶ φαυλότητος δηλωτικόν ἐστι. γράφεται δὲ καὶ ποδαλγοῦντες καὶ ποδαγρῶντες ὅτι καὶ αὐτὸ τὸ πάθος καὶ ποδάγρα λέγεται καὶ ποδαλγία.

541. Σφηκώδεις] Λεπτοὶ κατὰ τὸ μέσον ὡς σφῆκες ἢ πικροὶ ἐπεὶ καὶ τὸ ζῶον πικρόν ἐστι σφόδρα· ἅμα μὲν ὅτι καὶ δριμύτεροι. ἅμα δὲ ὅτι καὶ ἰσχνότεροι γίνονται οἱ λιμώττοντες, ὡς σφῆκες.

Τοῖς ἐχθροῖς ἀνιαροί.] Ὁ γὰρ ταῖς σαρξὶ μὴ βαρυνόμενος, ἀλλὰ κούφως ἔχων τοῦ σώματος, ῥᾷστ' ἂν καὶ πρὸς τοὺς ἐχθροὺς ἀντιπαρατάξηται. τοιοῦτοι δὲ οἱ πενητες διὰ τὸ μὴ εὐσαρκεῖν ἀπορίᾳ τροφῶν.

539. Tho' our word idea is derived from ἰδέα of the greeks, yet ἰδέα alludes to the body always.

541. σφηκώδεις is a very happy expression as it signifies the slender shape and irascibility of the wasp.

545. Dr T. would not have this line in a question, but rather to be spoken in an ironical manner.

Scholiast. he does not mean to say that ποδαλγοῦντες is proposed here, for that would not be right metre. he only means that there is another word for the same disease.

546. Dr Bentley entirely rejects this line.

547. It was the purpose of comedy to mingle Satire with humour. The orators of the time richly deserved it. —

555. πτερυγιζεις. This is a metaphor from the fluttering of young birds attempting to fly. This same metaphor is used by Euripides.

Νυν γαρ πετη τε και φρονων ουδεν φρονεις.

Schol. Ενθυμημα signifies a single proposit[illegible] it is used in Juvenal as a Latin word "curtum enthymema. In English we use[illegible] as a logical term. —

ΒΛ. Νὴ Δία γ', εἰ δεῖ γε λαθεῖν αὐτὸν, πῶς οὐχὶ κόσμιόν ἐςι;

ΠΕ. Σκέψαι τοίνυν γ' ἐν ταῖς πόλεσιν τοὺς ῥήτορας, ὡς ὁπόταν μὲν

Ὦσι πένητες, περὶ τὸν δῆμον καὶ τὴν πόλιν εἰσὶ δίκαιοι.

Πλουτήσαντες δ' ἀπὸ τῶν κοινῶν παραχρῆμ' ἄδικοι γεγένηνται,

Ἐπιβουλεύουσί τε τῷ πλήθει, καὶ τῷ δήμῳ πολεμοῦσιν.

ΧΡ. Ἀλλ' οὐ ψεύδει τούτων γ' οὐδὲν καίπερ σφόδρα βάσκανος οὖσα.

Ἀτὰρ οὐχ' ἧττόν γ' οὐδὲν κλαύσει, μηδὲν ταύτῃ γε κομήσῃς,

Ὅτι γε ζητεῖς τοῦτ' ἀναπείσειν ἡμᾶς, ὡς ἔςιν ἀμείνων

Πενία πλούτου. ΠΕ. Καὶ σύγ' ἐλέγξαι μ' οὔπω δύνασαι περὶ τούτου.

Ἀλλὰ φλυαρεῖς καὶ πτερυγίζεις. ΧΡ. Καὶ πῶς φεύγουσί σ' ἅπαντες;

ΠΕ. Ὅτι βελτίους αὐτοὺς ποιῶ. σκέψασθαι δ' ἔςι μάλιςα

Ἀπὸ τῶν παίδων· τοὺς γὰρ πατέρας φεύγουσι, φρονοῦντας ἄριςα.

ΣΧΟΛΙΑ.

546. Πῶς οὐχὶ κόσμιον.] Τὸ πειρᾶσθαι λαθεῖν. τοῦτο δὲ ὁ ἕτερος πρεσβύτης λέγει πειράζων καὶ χλευάζων, ὅτι τοπαλαιὸν οὐ διεβέβλητο ἡ κλοπὴ, εἰ μὴ φωραθεὶς κλέπτης ὑπῆρχεν. ἄλλως. εἴγε ὁ κλέπτης λανθάνει. ψυχρὸν δὲ τὸ ἐνθύμημα.

550. Ἐπιβουλεύουσί τε.] Διαβάλλει τοὺς ῥήτορας, ὡς δῶρα λαμβάνοντες παρὰ τῶν πολεμίων ἀσύμφορα τῇ πόλει συμβουλεύουσιν, οὐκ ἐῶντες αὐτὴν τούτους ἀμύνασθαι.

Αὐτοις. ὕτω διαγιγνώσκειν χαλεπὸν πρᾶγμ' ἐστὶ δίκαιον.

Χρ. Τὸν Δία φήσεις ἆρ' οὐκ ὀρθῶς διαγιγνώσκειν τὸ κράτιστον;

Κἀκεῖνος γὰρ τὸν πλοῦτον ἔχει. ταύτην δ' ἡμῖν ἀποπέμπει

ΠΕ. Ἀλλ' ὦ Κρονικαῖς γνώμαις ὄντως λημῶντες τὰς φρένας ἄμφω.

Ὁ Ζεὺς δήπου πένεται. καὶ τοῦτό γε δὴ φανερῶς σε διδάξω.

Εἰ γὰρ ἐπλούτει, πῶς ποιῶν αὐτὸς τὸν Ὀλυμπιακὸν ἀγῶνα,

Ἵνα τοὺς Ἕλληνας ἅπαντας ἀεὶ δι' ἔτους πέμπων ξυναγείρει,

Ἀνεκήρυττεν τῶν ἀθλητῶν τοὺς νικῶντας, στεφανώσας

Κοτίνου στεφάνῳ; καί τοι χρυσῷ μᾶλλον ἐχρῆν, εἴπερ ἐπλούτει.

Χρ. Οὐκοῦν τούτῳ δήπου δηλοῖ τιμῶν τὸν πλοῦτον ἐκεῖνος·

Φειδόμενος γὰρ καὶ βουλόμενος τούτου μηδὲν δαπανᾶσθαι,

Λήροις ἀναδῶν τοὺς νικῶντας, τὸν στοῦτον ἐᾷ παρ' ἑαυτῷ.

ΣΧΟΛΙΑ.

561. Ἀλλ' ὦ κρονικαῖς γνώμαις.] Ἦγον ἀρχαίαις μωρίαις ἐσκοτισμένοι τὸ φρονεῖν. παροιμία δέ ἐστιν ἐπὶ τῶν ἀμβλυωττόντων. ἥτις εἴρηται καὶ ἐν Νεφέλαις. ἀντὶ δὲ τοῦ γνώμαις, γράφεται λήμαις. λήμη δέ ἐστι τὸ στεπτὸν δάκρυον ὅπερ ἐπικαθεζόμενον βλάπτει τοὺς ὀφθαλμούς. τὸ γὰρ τῶν γερόντων δάκρυον παχὺ ὄν, λήμας μεγάλας ποιεῖ. σημαίνει οὖν τοὺς τετυφλωμένους τὰς φρένας, ὥσπερ οἱ τὰς λήμας ἔχοντες τῶν ὀφθαλμῶν ἐμποδίζονται τὰς ὄψεις.

ΠΕ.

560. Dr Bentley makes Blepsidemus say ταυτην &c. which makes it more lively & spirited.

561. In general the antients had a respect for old age, but it is often ridiculed in comedy. Ω μωρε Κρονιων οζων.

566. Αθλα δε των κοτινος, μηλα, σελινα, πιτυς, Farnaby.

Schol. Dr Bentley reads λημαις because it is usual to have the substantive the same as the verb, λημαις λημωντες.

572. κοτινου στεφανω. This in all probability means, "presenting you with an olive staff about your heade

576. εχοντας. is here absolute. It is so habendi in Latin too.
Emoritur studiis et amore senescit Ho
habeo is also used absolute tho' in another sense. for the gladiator when wounded used to say. habeo. idestraln

ΠΕ. Πολὺ τῆς Πενίας πρᾶγμ' αἴσχιον ζητεῖς αὐτῷ περιάψαι.

Εἰ πλέσιον ὢν, ἀνελεύθερον ἐᾷ ὕτωσὶ, καὶ φιλοκερδῆ.

ΧΡ. Ἀλλά σε γ' ὁ Ζεὺς ἐξολέσειεν, κοτίνῳ σεφάνῳ σεφανώσας.

ΠΕ. Τὸ γὰρ ἀντιλέγειν τολμᾷν ὑμᾶς, ὡς ἐ πάντ' ἐς' ἀγάθ' ὑμῖν,

Διὰ τὴν πενίαν. ΧΡ. Παρὰ τῆς Ἑκάτης ἔξεσιν τοῦτο πυθέσθαι.

Εἴτε τὸ πλουτεῖν, εἴτε τὸ πεινῆν βέλτιον. φησὶ γὰρ αὕτη,

Τοὺς μὲν ἔχοντας καὶ πλουτοῦντας, δεῖπνον κατὰ μῆνα προπέμπειν·

Τοὺς δὲ πένητας τῶν ἀνθρώπων ἁρπάζειν πρὶν καταθεῖναι.

ΣΧΟΛΙΑ.

573. Τὸ γὰρ ἀντιλέγειν.] Ὅτι σχῆμα κεῖται καινὸν ἐλλειπτικὸν ἐνταῦθα τόδε. τὸ γὰρ λέγειν τολμᾷν ὑμᾶς, ὡς ἐ πάντ' ἐστὶ τἀγάθ' ὑμῖν διὰ τὴν πενίαν. λείπει γὰρ φανερῶς ἐνταῦθα ἔννοιά τις ἀκεραία τοιαύτη. τίς ἂν ἀκούων ἀνάσχοιτο. ἢ, πῶς οὐκ ἂν εἴη φορτικόν. ἢ, πῶς οὐκ ἀντιλέγοιτο. ἢ τοιοῦτόν τι. ἵνα λέγῃ ἡ Πενία ὅτι τὸ γὰρ τολμᾷν ὑμᾶς λέγειν, ὡς ἐ δι' ἐμὲ ὑμῖν τἀγαθὰ, πῶς ἂν εἴη φορητὸν ἀκούεσθαι. καὶ σημείωσαι τὸ τοιοῦτον εἶδος τῆς ἐλλείψεως, ἐνδεικτικὸν ὂν θυμικοῦ ἤθους, καὶ ἐγκοπτομένης τῆς τελείας φράσεως διὰ τὸ πολὺ τῆς ὀργῆς.

574. Παρὰ τῆς Ἑκάτης ἔξεσι.] Τὴν Ἑκάτην ἐν ταῖς τριόδοις ἐτίμων τοπαλαιὸν, διὰ τὸ τὴν αὐτὴν Σελήνην καὶ Ἄρτεμιδα καὶ Ἑκάτην καλεῖσθαι. κατὰ δὲ νεμηνίαν οἱ πλουσίοι, δεῖπνον ἑσπέρας ὡς θυσίαν τῇ Ἑκάτῃ προσάγοντες ἐπὶ ταῖς τριόδοις ἐτίθεν. οἱ δὲ πένητες ἤρχοντο πεινῶντες καὶ ἤσθιον αὐτὰ, καὶ ἔλεγον, ὅτι ἡ Ἑκάτη ἔφαγεν αὐτά.

Ἀλλὰ φθείρω κ᾽ μὴ γρύζῃς
Ἔτι μηδ᾽ ὁτιοῦν.
Οὐ γὰρ πείσεις, ἢν πείσῃς.
ΠΕ. Ὦ πόλις Ἄργος, κλύεθ᾽, οἷα λέγει;
ΧΡ. Παύσωνα κάλει τὸν ξύσσιτον.
ΠΕ. Τί πάθω τλήμων;
ΧΡ. Ἔρρ᾽ ἐς κόρακας θᾶττον ἀφ᾽ ἡμῶν.
ΠΕ. Εἶμι δὲ ποῖ γῆς;
ΧΡ. Ἐς τὸν Κύφων᾽, ἀλλ᾽ ἐ μέλλειν
Χρῆν σ᾽, ἀλλ᾽ ἀνύειν.
ΠΕ. Ἦ μὴν ὑμεῖς γ᾽ ἔτι μ᾽ ἐνλαυθοῖ
Μεταπέμψεθον.
ΧΡ. Τότε νοσήσεις· νῦν δὲ φθείρω.
Κρεῖττον γάρ μοι πλεῖν ἐστιν·
Σὲ δ᾽ ἐᾶν κλάειν μακρὰ τὴν κεφαλήν.
ΒΛ. Νὴ Δί᾽ ἔγωγ᾽ ἂν ἐθέλω πλεῖν
Εὐωχεῖσθαι μετὰ τῶν παίδων,
Τῆς τε γυναικὸς, κ᾽ λεσάμενος

ΣΧΟΛΙΑ.

578. Καὶ μὴ γρύζῃς.] Μὴ φθέγξῃ. κυρίως δὲ γρύζειν ἐστὶ, τὸ τὰς μικρὰς χοίρας φωνὴν ποιεῖσθαι.

581. Ὦ πόλις Ἄργος.] Ταῦτά φασιν ἐκ Τηλέφου Εὐριπίδου τραγικεύεται· μεμίμηται δὲ ὁ στίχος ἐκ Φοινισσῶν Εὐριπίδου, Πολυνείκους λέγοντος. ἐδὲ γὰρ ἀπολέσθαι κάλει ἐν Ἀθήναις ὅσα. διαβάλλει δὲ τὰς Ἀργείας ὡς πένητας.

582. Παύσωνα κάλει τὸν ξύσσιτον.] Σύντροφον κ᾽ διαίτητην. ὁ Παύσων δὲ ἐπὶ πενίᾳ κωμῳδεῖται ζωγραφῶν ὤν.

586. Ἐς τὸν Κύφωνα.] Κύφων ὁ ξύλινος δεσμός, ἐν ᾧ δεσμεύονται οἱ ἐν τῇ φρουρᾷ, ὃν κ᾽ κυφῶνα περισπωμένως λέγουσι. τινὲς δὲ κύριόν φασιν ὄνομα τὸν Κύφωνα πλοκῆ τινος. οἱ δὲ κρημνὸν ὕπτιον καλούμενον.

592. Κλάειν μακρὰ τὴν κεφαλήν.] Λείπει τύπτεσθαι. ἢ ἁπλῶς λέγειν, ἀλλὰ μετακλίνειν ὅλον τὸ σῶμα κ᾽ σεαυτήν. Ἀττικὸν τὸ σχῆμα.

Λιπαρὸς

578. γρυζης. γρυζω & γρυλλιζω and all the words of that kind, are derived from the word γρυ. Vide line 17th. — —

584. Ουκ ες κορακας. Vide line 375.

The line alluded to here is.

πολις, Eteocles μολων ες Αργος, ανακαλει λερνης υδωρ.

598 καταπαρδειν is not a very cleanly expression. Horace uses the same:
" Curtis Iudaeis oppedere.

601. ναον is here understood, as templ[illegible] frequently is in Latin. [illegible]
" Ventum erat ad Vestae. Hor.

607
The reason of the chorus not being introduced is that this is the second edition of Plutus 20 years after the first, during which time
" Lex est accepta, chorusq[illegible]
Turpiter obticuit, sublato jure nocendi.
The Scholiast therefore means that if it had not been forbidden Aristophan[illegible] would have introduced one here, but it could not be on that account, for a whole night passed between line 6[illegible] & 607, so that the Chorus could not hav[illegible]

Λιπαρὸς χωρῶν ἐκ βαλανείῳ,
Τῶν χειροτέχνων,
Καὶ τῆς πενίας καθαπαρᾶν.

ΔΡΑΜΑΤΟΣ ΔΕΥΤΕΡΟΥ
ΣΚΗΝΗ ΕΚΤΗ.

ΧΡΕΜΥΛΟΣ, ΒΛΕΨΙΔΗΜΟΣ.

Αὕτη μὲν ἡμῖν ἡ πίτριπτος οἰχεται.
Ἐγὼ δὲ, καὶ σύ γ', ὡς τάχιστα τὸν θεὸν
Ἐγκατακλινῶντ' ἄγωμεν εἰς Ἀσκληπιῶ.
Βλ. Καὶ μὴ διατριβώμεν γε, μὴ πάλιν τις ἂν
Ἐλθὼν διακωλύσῃ τι τῶν πρεργω ποιεῖν.
Χρ. Ὦ παῖ Καρίων, τὰ ῥάμματ' ἐκφέρειν ἐχρῆν·
Αὐτόν τ' ἄγειν τὸν Πλοῦτον, ὡς νομίζεται,
Καὶ τἄλλ', ὅσ' ἐστὶν ἔνδον πυτρεπισμένα.

ΔΡΑΜΑΤΟΣ τῦ ΤΡΙΤΟΥ
ΣΚΗΝΗ ΠΡΩΤΗ.

ΚΑΡΙΩΝ, ΧΟΡΟΣ.

Ὦ Πλεῖσα Θησείοις μεμιγυλημένοι,
Γέροντες ἄνδρες, ἐπ' ὀλιγίστοις ἀλφίτοις,
Ὡς ἐντυχεῖθ', ὡς μακαρίως πεπράγατε,
Ἄλλοι

ΣΧΟΛΙΑ.

596. Τὸ λιπαρός.] Ἢ ἀντὶ τῦ τρυφηλὸς νοητέον. ἢ διότι ἔθος ἦν τοῖς παλαιοῖς μετὰ τὸ λελοῦσθαι, ἐλαίῳ διόλυ τῷ σώματος ἀλείφεσθαι. ἵνα οἱ πόροι ὑπὸ θέρμης ἀνεωχθέντες, κλεισθῶσιν ὑπὸ τῦ ἐλαίυ ἐπιπωμαλικῦ ὄντος, καὶ μὴ δέξωνται ἄερα ἔκτοθεν.

599. Αὕτη μὲν ἡμῖν.] Ἐνταῦθα χορὸν ὤφειλε θεῖναι καὶ διατρίψαι μικρὸν, ἄχρις ἂν τις ἐξ Ἀσκληπιῦ ἀνασρέψειε, τὴν τῦ Πλύτυ ἀπαγγελλων ἀνάβλεψιν.

607. Ὦ πλεῖσα Θησείοις.] Σημείωσαι ἐνταῦθα, ὅτι δέον χορὸν διὰ

Ἄλλοι δ', ὅσοις μέτεσι τῦ χρηςῦ τρόπυ.
Χο. Τί δ' ἐςὶν, ὦ βέλτις' τῶν σαυτῦ φίλων;
Φαίνει γὰρ ἥκειν ἄγγελόν τινα χρηςῦ τινος.
Κλ. Ὁ δεσπότης πέπραγεν ἐντυχέςαλα,
Μᾶλλον δ' ὁ Πλῦτος αὐτός. ἀντὶ γὰρ τυφλῦ,
Ἐξομμάτωται· καὶ λελάμπρυνται κόραι,
Ἀσκληπιῦ παιῶνος ἐνμενῆς τυχών.
Χο. Λέγεις μοι χαράν· λέγεις μοι βοάν.
Κλ. Πάρεσι χαίρειν, ἤν τε βάλῃ δ', ἤν τε μή.
Χο. Ἀναβοάσομαι τὸν εὔπαιδα καὶ
Μέγα βροτοῖσι φάντα, Ἀσκληπιόν.

ΣΧΟΛΙΑ.

διὰ μέσυ θεῖναι μέχρις ἂν ἐκεῖνοι εἰς Ἀσκληπιῦ ἐλθόντες ἀναβλέψαιεν τὸν Πλῦτον. ὁ δὴ παράχρημα τὸν Καρίωνα ἐισφέρει ἐναγγελίζοντα τοῖς γέρυσι περὶ τῆς τῦ Πλύτυ ἀναβλέψεως. ἐποίησε δὲ τῦτο ἐκ ἀλόγως. ἀλλὰ τῇ τε τῆς νέας κωμῳδίας συνηθείᾳ, ἐν ᾗ αἱ παραβάσεις ἐπαύσαντο ὡς προείρηται.

Ὦ πλεῖσα θησείοις μεμισυλημένοι.] Ταῖς ἀγῳδίαις τὰ Θησεῖα ἤγειλο. ἑορλὴ δὲ αὐλῷ ἐπελελεῖτο, ἐπειδὴ αὐτὸς συνήγαγε τὴν Ἀτλικὴν, πρότερον σποράδην καὶ κατὰ κώμας οἰκυμένην.

615. Ἐξομμάτωται.] Ἐκ Φινέως Σοφοκλέυς ὁ σίχος. ὅρα δὲ πῶς τοῖς σπυδαίοις γελοιῶδη καλαμίξας λανθάνει, εἰρηκὼς ἐξομμάτωται καὶ λελάμπρυνται. ἡ δὲ λέξις, ἀντὶ τῦ ἐπιτεταμένως ὁρᾷ.

617. Λέγεις μοι χαράν.] Τίνα γελᾷ τῶν τραγικῶν. ἀπαγγέλλεις μοι, φησὶ, χαρᾶς ἄξιον, ὥςε καὶ βοᾶν χαρᾷ νικώμενον.

619. Ἀναβοάσομαι.] Ἐξ Ἠλέκλρας Εὐριπίδυ. ἀνυμνήσω, φησὶ, τὸν Ἀσκληπιὸν μέγα φῶς ὄντα τοῖς ἀνθρώποις. ὁ δὲ νῦς πέπαικται εἰς τραγῳδίαν. ὁ γὰρ χαρακτὴρ τραγικὸς, ὡς ἐν Ὀρέσῃ. ἀναβοάσομαι παλαὶ Ταυλάλῳ.

made any delay answerable to that length of time. The French commentators who stand up for the unity of time, preserved by the ancients, insist upon it that the audience went away after line 608 and return next morning to the sequel, but this is too ridiculous to want arguments to confute it.

620. φαυος. Dr Bentley cannot find this word in any other passage he therefore judiciously alters it to φεγγος. — — —

Scho. The παραβασεις of Comedy always answered to the Strophe & Antistrophe of Tragedy. it afterwards was used to signify the Chorus in general. — —

621.

The three first lines of this scene are taken from the Medea of Euripides. αγγελει is the second Attick person

625. φιλεις here may eleganty mean soles. This was probably spoken aside.

629 & 630. The humour here consists in the play upon the words πραγματα & ες κεφαλην σοι. which is used for a curse vide line 506.

634. ανδρα. for a reason why he terms Plutus ανδρα vide Schol. upon line 79. Homo is applied to a god in Virgil. Turne quod optanti divum promittere nemo. Plutus taking upon him the shape of a man is with more propriety called ανηρ.

ΔΡΑΜΑΤΟΣ τȣ̃ ΤΡΙΤΟΥ ΣΚΗΝΗ ΔΕΥΤΕΡΑ.

ΓΥΝΗ, ΚΑΡΙΩΝ.

ΤΙΣ. ἡ βοή ποτ' ἐςίν; ἆρα γ' ἀγγελεῖ
Χρηςὸν τι; τȣ̃το γὰρ ποθȣ̃σ' ἐγὼ πάλαι,
Ἔνδον κάθημαι περιμένȣσα τȣτονί.
ΚΑ. Ταχέως ταχέως φέρ' οἶνον, ὦ δέσποιν', ἵνα
Καὐτὴ πίῃς. φιλεῖς δὲ δρῶσ' αὐτὸ σφόδρα.
Ὡς ἀγαθὰ συλλήβδην ἅπαντά σοι φέρω.
ΓΥ. Καὶ πȣ̃ 'ςιν; ΚΑ. Ἐν τοῖς λεγομένοις εἴσει τάχα.
ΓΥ. Πέραινε τοίνυν, ὅ,τι λέγεις ἀνύσας ποτέ.
ΚΑ. Ἄκȣε τοίνυν. ὡς ἐγὼ τὰ πράγματα,
Ἐκ τῶν ποδῶν εἰς τὴν κεφαλήν σοι πάντ' ἐρῶ.
ΓΥ. Μὴ δῆτ' ἔμοιγ' ἐς τὴν κεφαλήν. ΚΑ. Μὴ τἀγαθὰ
Ἃ νῦν γεγένηται; ΓΥ. Μὴ μὲν ȣ̃ν τὰ πράγματα.
ΚΑ. Ὡς γὰρ τάχις' ἀφικόμεθα πρὸς τὸν θεὸν,
Ἄγοντες ἄνδρα, τότε μὲν ἀθλιώτατον,

ΣΧΟΛΙΑ.

621. Τίς ἡ βοή ποτ' ἐςί.] Ἐνταῦα γὰρ χορȣ̃ τι μέρος ὤφειλε θεῖναι καὶ διαλρίψαι μικρὸν, ἄχρις ἂν ὁ Καρίων ἐκείνοις συμμίξειεν.

629. Ὡς ἐγὼ τὰ πράγματα ἐκ τῶν ποδῶν εἰς τὴν κεφαλὴν σοι.] Τὸ μὲν φαινόμενόν ἐςι τȣ̃το. ἐξ ἀρχῆς μέχρι τέλȣς ἐρῶ τὰ πράγματα.

632. Μὴ μὲν ȣ̃ν τὰ πράγματα.] Ὅτι ἐπὶ κακῷ ἔλεγον οἱ Ἀθηναῖοι τὰ πράγματα, καὶ Μένανδρος δὲ ἐν Γεωργῷ. ἐν πράγμασιν, ἐν μάχαις.

Νῦν

Νῦν δ', εἴτιν' ἄλλον, μακάριον κ' εὐδαίμονα;
Πρῶτον μὲν αὐτὸν ἐπὶ θάλατταν ἤγομεν.
Ἔπειτ' ἐλῦμεν. ΓΥ. Νὴ Δι' εὐδαίμων ἄρ' ἦν
Ἀνὴρ γέρων ψυχρᾷ θαλάττῃ λύμενος.
ΚΑ. Ἔπειτα πρὸς τὸ τέμενος ἤμεν τοῦ θεοῦ,
Ἔπειδὲ βωμῷ πόπανα κ' προθύματα
Καθωσιώθη, πέλανος. Ἡφαίστου φλογί,
Κατεκλίνομεν τὸν Πλοῦτον, ὥσπερ εἰκὸς ἦν.
Ἡμῶν δ' ἕκας σιβάδα παρεκατέτυετο.
ΓΥ. Ἦσαν δέ τινες κ' ἄλλοι δεόμενοι τοῦ θεοῦ;
ΚΑ. Εἷς μέν γε Νεοκλείδης· ὅς ἐστι μὲν τυφλός.
Κλέπτων δὲ τοὺς βλέποντας ὑπερικόντισεν.
Ἕτεροί τε πολλοὶ παντοδαπὰ νοσήματα
Ἔχοντες. ὡς δὲ τὰς λύχνους ἀποσβέσας,
Ἡμῖν παρήγγειλ εν καθεύδειν τοῦ θεοῦ
Ὁ πρόπολος, εἰπὼν, εἴτις αἴσθηται ψόφου,
Σιγᾷν, ἅπαντες κοσμίως κατεκείμεθα.
Κἀγὼ καθεύδειν οὐκ ἐδυνάμην. ἀλλά με
Ἀθάρης χύτρά τις ἐξέπληττε, κειμένη
Ὀλίγον ἄπωθεν τῆς κεφαλῆς τοῦ γραϊδίου·
Ἐφ' ἣν ἐπεθύμουν δαιμονίως ἐφερπύσαι.

ΣΧΟΛΙΑ.

636. Ἐπὶ θάλατταν ἤγομεν.] Εἰώθεσαν γὰρ τοῖς ἀρχαίοις ἐκεῖ καθαίρειν τοὺς ἀφωσιωμένους. Ὅμηρος. Καὶ εἰς ἅλα λύματ' ἔβαλλον.

637. Ἔπειτ' ἐλῦμεν.] Ἀπὸ τοῦ ἐλύομεν καὶ συγκοπήν.

643. Παρεκατέτυετο.] Ἐκ συλλογῆς ἠυτρεπίζετο ἀπὸ τῶν κατατυμάτων. κατέτυμα δὲ λέγονται οἱ μικροὶ ἰμάντες, οἱ ἐπὶ τοῦ κόπρου ἐρριμμένοι. λέγει οὖν ἐκ πολλῶν καὶ μικρῶν τὴν σιβάδα ἠυτρεπίζομεν.

645. Εἷς μέν γε. Νεοκλείδης.] Εἰς πολλὰ κεκωμῴδηται εἰς ῥήτορα, καὶ τὰ δημόσια κλέπτοντα, καὶ ξένον, καὶ τὰς ὄψεις λελωβημένον.

Ἔπειτ

638. λουμενος. This word certainly may be Attick for λελουμενος. The Atticks reject the augment, and why should they not the reduplication.

640 ποπανα is made a Latin word by Juvenal tenui popano corruptus Osiris

641. This line sounds very Tragick the audience in all probability recollected it, from some play.

646. This line is of the same kind with one in the Oedipus of Sophocles. for Oedipus speaking to Tiresias says "ΟΣΤΙΣ ΕΝ ΤΟΙΣ ΚΕΡΔΕΣΙΝ ΜΟΝΟΝ ΔΕΔΟΡΚΕΝ. —

651. The custom of laying down and sleeping in the temples of the gods occurs in other poets. Virgil says

"Cæsarum ovium subnocte silenti
Pellibus incubuit stratis. It is wonderful that Aristophanes (who exposes entirely the cheats of his religion, for which Sophocles lost his life) should have written his Nubes to ridicule Sophocles. He artfully puts all this in the mouth of a servant, so that if he had been taken notice of he would have said it was all low pleasantry. —

657.

The people were made to believe that the god consumed the offering. the imposture here is detected, it is like the detection in scripture of the frauds of the priests of Bel & the Dragon.

661. ΣΑΚΤΑΝ. Hence the Latin word Saccus and the English word Sack

666. Vide Schol. upon line 21st the ridicule is well kept up here, for the priest comes to the ΧΥΤΡΑ with great ceremony ΣΤΕΜΜΑΤΑ ΕΧΩΝ.

669. Dr. F. alters ΥΦΗΡΕΙ to ΕΠΗΡΕΙ.

670. Lucan speaks of this serpent Lib. 9. 724.
Et contentus iter caudâ sulcare Pareas.

672. ΕΝΤΥΛΙΞΑΣΑ, wrapping herself under her Rug, from ΤΥΛΙΤΤΩ; - a ΤΥΛΗ stragulum.

+ unde fera, in Latin. a ΦΗΡ, not ΘΗΡ.

Ἔπειτ' ἀναβλέψας ὁρῶ τὸν ἱερέα
Τὰς φθοῖς ἀφαρπάζοντα, κ᾽ τὰς ἰσχάδας,
Ἀπὸ τῆς τραπέζης τῆς ἱερᾶς. μετὰ τοῦτο δὲ
Περιῆλθε τοὺς βωμοὺς ἅπαντας ἐν κύκλῳ,
Εἴπου πόπανον εἴη τι καταλελειμένον.
Ἔπειτα ταῦθ' ἥγιζεν εἰς σάκταν τινά.
Κἀγὼ νομίσας πολλὴν ὁσίαν τὸ πράγμα,
Ἐπὶ τὴν χύτραν τὴν τῆς ἀθάρης ἀνίσαμαι
ΓΥ. Ταλάντατ' ἀνδρῶν, κ᾽ ἐδεδοίκεις τὸν θεόν;
ΚΑ. Νὴ τοὺς θεούς ἔγωγε, μὴ φθάσειέ με,
Ἐπὶ τὴν χύτραν ἐλθὼν, ἔχων τὰ ῥέμματα.
Ὁ γὰρ ἱερεὺς αὐτῷ με προὐδιδάξατο.
Τὸ γραΐδιον δ', ὡς ἤθετο δή μου τὸν ψόφον,
Τὴν χεῖρ' ὑφῆρει· κἄτα συρίξας ἐγὼ
(Ὀδὰξ ἐλαβόμην,) ὡς παρείας ὢν ὄφις.
Ἡ δ' εὐθέως τὴν χεῖρα πάλιν ἀνέσπασεν,
Κατέκειτο δ' αὐτὴν ἐντυλίξασ' ἡσυχῇ,
Ὑπὸ τοῦ δέους βδέουσα δριμύτερον γαλῆς.
Κἀγὼ τότ' ἤδη τῆς ἀθάρης πολλὴν ἔφλων.
Ἔπειτ' ἐπειδὴ μεστὸς ἦν, ἀνεπαυόμην.

ΣΧΟΛΙΑ.

657. Τοὺς φθοῖς.] Ἀτθικοὶ μὲν μονοσυλλάβως οἱ φθοῖς. ὁ δὲ Καλλίμαχος, φθοίας ἀντὶ τοῦ πλακοῦντας, ῥέμματα.

670. Ὡς παρείας ὢν ὄφις.] Εἶδος δὲ ὄφεως ὁ παρείας παρὰ τὸ ἐπῆρθαι τὰς παρειάς. φασὶ δὲ αὐτὸν μὴ δάκνειν, ἢ κ᾽ δάκνοντα μὴ λυπεῖν. μέμνηται δὲ αὐτοῦ κ᾽ Δημοσθένης τοὺς ὄφεις τοὺς παρείας φάσκων.

674. Ἔφλων.] Ἤθιον. λείπει δὲ τροφήν. φλᾷν δὲ νῦν, τὸ μετὰ ψόφου ἐσθίειν. κ᾽ γὰρ φλᾷν, τὸ θλᾷν. ὡς, φησὶν ὁρεσκώοισιν.

ΓΥ. Ὁ δὲ θεὸς ὑμῖν οὐ προσήειν; ΚΑ. Οὐδέπω. Μετὰ τοῦτο δ' ἤδη, καὶ γελοῖον δῆτά τι Ἐποίησα. προσιόνθ' γὰρ αὐτὸν, μέγα πάνυ Ἀπέπαρδον. ἡ γαστὴρ γὰρ ἐπεφύσητό μου.

ΓΥ. Ἦσθ' σε διὰ τοῦτ' εὐθὺς ἐβδελύττετο.

ΚΑ. Οὐκ. ἀλλ' Ἰασὼ μέν τις ἀκολουθοῦσ' ἅμα, Ὑπηρυθρίασε, χ' ἡ Πανάκεια ἀπεγράφη, Τὴν ῥῖν' ἐπιλαβοῦσ'. οὐ λιβανωτὸν γὰρ βδέω.

ΓΥ. Αὐτὸς δ' ἐκεῖνον; ΚΑ. Οὐ μὰ Δί', οὐδ' ἐφρόντισεν.

ΓΥ. Λέγεις ἄγροικον ἄρα σύ γ' εἶναι τὸν θεόν;

ΚΑ. Μὰ Δί' ἔγωγ'. ἀλλὰ σκατοφάγον. ΓΥ. Αἰ τάλαν.

ΚΑ. Μετὰ ταῦτ' ἐγὼ μὲν εὐθὺς ἐνεκαλυψάμην Δείσας. ἐκεῖνον δ' ἐν κύκλῳ τὰ νοσήματα Σκοπῶν περιήειν πάντα κοσμίως πάνυ. Ἔπειτα παῖς αὐτῷ λίθινον θυείδιον Παρέθηκε καὶ δοίδυκα καὶ κιβώτιον.

ΓΥ. Λίθινον; ΚΑ. Μὰ Δί', οὐ δῆτ' ἀλλὰ τίγε κιβώτιον.

ΓΥ. Σὺ δὲ πῶς ἑώρας ὦ κάκιστ' ἀπολούμενε.

ΣΧΟΛΙΑ.

676. Ὁ δὲ θεὸς ὑμῖν οὐ προτήειν.] Ἰωνικῶς, ὡς καὶ παρ' Ὁμήρῳ. ἤσκειν εἰρικὰ καλά. ἀντὶ τοῦ, ἤσκησε. τρίτῳ γάρ ἐστι προσώπῳ.

683. Οὐ λιβανωτὸν γὰρ βδέω.] Ἄλλο λίβανος καὶ ἄλλο λιβανωτός. λίβανος μὲν γὰρ αὐτὸ τὸ δένδρον, λιβανωτὸς δὲ ὁ καρπὸς τοῦ λιβάνου. ἔστι δὲ καὶ ὄρος Λίβανος καλούμενον.

686. Ἀλλὰ σκατοφάγον.] Ἀναίσθητον. εἴρηται δὲ ἀπὸ τῶν παρὰ Βοιωτοῖς βοῶν. οἳ διὰ πολλὴν ἀναισθησίαν σκατὰ ἤσθιον. ἑτερόκλιτος δέ ἐστιν ἡ σκατὸς γενικὴ, ἀπὸ εὐθείας τῆς σκώρ.

Ὃς

+αυτ8.

682.
The Latin word Subrubeo answers to -
υπερυθριαζω. -

687. ενεκαλυψαμην has the peculiar sense
of the middle Voice. - I did it myself.
δοιδυκα, pestle.
θυειδιον - mortar.
Κιβωτιον, a Chest.

Did Scho. This is not Ionick but old Attick
which agreed much with Ionick.

695. Οπας, — a peep-hole from οπτομαι, video.

Σκορδων - Garlick.
Οπον - Benjoin --
σχινον : mastick.

705.
ἐπομνυμενον, sworn to appear --

707. Some affirm πλουτωνι not to be the right word; - and read πλουτῳ for but πλουτος, & πλουτων are used indiscriminately for Pluto --

Ὃς ἐγκεκαλύφθαι φής; ΚΑ. Διὰ τὸ τριβωνίδιον.
Ὁ πὰς γὰρ εἶχεν ὑκ ὀλίγας, μὰ τὸν Δία. 695
Πρῶτον δὲ πάντων τῷ Νεοκλείδῃ φάρμακον
Καταπλασ᾽ὸν ἐνεχείρησε τρίβειν, ἐμβαλὼν
Σκορόδων κεφαλὰς τρεῖς Τηνίων. ἔπειτ᾽ ἔφλα
Ἐν τῇ θυείᾳ συμπαραμιγνύων ὀπὸν,
Καὶ σχῖνον· εἶτ᾽ ὄξει διέμενϑ Σφηττίῳ, 700
Κατέπλασσεν αὐτὸ τὰ βλέφαρ᾽ ἐκρέψας, ἵνα
Ὀδυνῷτο μᾶλλον. ὁ δὲ κεκραγὼς κὴ βοῶν
Ἔφευγ᾽ ἀναίξας ὁ δὲ θεὸς γελάσας ἔφη,
Ἐνταῦθα νῦν κάθησο καταπεπλασμένϑ.
Ἵν᾽ ἐπομνύμενον παίσω σε τῆς ἐκκλησίας. 705
ΓΥ. Ὡς φιλόπολίς τις ἔϑ᾽ ὁ δαίμων κὴ σοφός.
ΚΑ. Μετὰ τοῦτο τῷ Πλούτωνι παρεκαϑέζετο.
Καὶ ϖρῶτα μὲν δὴ τῆς κεφαλῆς ἐφήψατο.
Ἔπειτα καθαρὸν ἡμιτύβιον λαβὼν,
Τὰ βλέφαρα ϖεριέψησεν. ἡ Πανάκεια δὲ 710
Κατεπέτασ᾽ αὐτὸ τὴν κεφαλὴν φοινικίδι,
Καὶ πᾶν τὸ ϖρόσωπον. εἶϑ᾽ ὁ θεὸς ἐπόππυσεν.

ΣΧΟΛΙΑ.

697. Καταπλασόν.] Τῶν φαρμάκων, τὰ μὲν ἐσι καταπλασά, τὰ δὲ, χρισά, τὰ δὲ ποτά.

698. Τρεῖς Τηνίων.] Ὅτι ἐν τῇ Τήνῳ μιᾷ τῶν Κυκλάδων νήσῳ ὄφεις κὴ σκορπίοι δεινοὶ ἐγίνοντο, ἢ ὅτι ὑ Τῆνϑ δριμύταλα σκόροδα φέρει. ἢ Τῆνϑ δὲ αὕτη θηριώδης δοκεῖ εἶναι.

700. Ὄξει διέμενϑ.] Σφηττίῳ δὲ τῷ δριμυτάτῳ, ἀπὸ δήμυ. πικροὶ γὰρ οἱ σφήττιοι κὴ συκοφάνται. ἢ ὅτι δριμὺ ὄξϑ ϖαρὰ Σφηττίοις ἐγίνετο.

709. Ἡμιτύβιον.] Ἀντὶ τοῦ σουδάριον, ῥάκϑ ἡμιτριβές, λίνεν τί, οἷον ἐκμαγεῖον.

Ἑξηξάτην ἔν δύο δράκοντ' ἐκ τῆ νεώ,
Ὑπερφυεῖς τὸ μέγεθος. ΓΥ. Ὦ φίλοι θεοί.
ΚΑ. Τέτω δ' ὑπὸ τὴν φοινικίδ' ὑποδύνθ' ἡσυχῆ, 715
Τὰ βλέφαρα περιέλειχον, ὡς γε μοι δοκεῖν.
Καὶ πρίν σε κοτύλας ἐκπιεῖν οἴνυ δέκα,
Ὁ Πλῆτος, ὦ δέσποινα, ἀνεζήκει βλέπων.
Ἐγὼ δὲ τῶ χεῖρ' ἀνεκρότησ' ὑφ' ἡδονῆς,
Τὸν δεσπότην τ' ἤγειρον. ὁ θεὸς δ' ἐνθέως 720
Ἠφάνισεν αὐτὸν, οἴτ' ὄφεις, εἰς τὸν νεών.
Οἴδ' ἐγκατακείμενοι παρ' αὐτῶ, πῶς δοκεῖς
Τὸν Πλῆτον ἡσπάζοντο, καὶ τὴν νύχθ' ὅλην
Ἐγρηγόρεσαν, ἕως δίελαμψεν ἡμέρα.
Ἐγὼ δ' ἐπήνυν τὸν θεὸν πάνυ σφόδρα, 725
Ὅτι βλέπειν ἐποίησε τὸν Πλῆτον ταχύ,
Τὸν δὲ Νεοκλείδην μᾶλλον ἐποίησεν τυφλόν.
ΓΥ. Ὅσην ἔχεις τὴν δύναμιν, ὦ ναξ δέσποτα.
Ἀταρ φράσον μοι πῦ δ' ὁ Πλῆτος. ΚΑ. Ἔρχεται.
Ἀλλ' ἦν περὶ αὐτὸν ὄχλος ὑπερφυὴς ὅσος. 730
Οἱ γὰρ δίκαιοι πρότερον ὄντες, καὶ βίον
Ἔχοντες ὀλίγον, αὐτὸν ἡσπάζοντο, καὶ
Ἐδεξιῶνθ' ἅπαντες ὑπὸ τῆς ἡδονῆς.
Ὅσοι δ' ἐπλήτων οὐσίαν τ' εἶχον συχνὴν,
Οὐκ ἐκ δικαίω τὸν βίον κεκτημένοι, 735

ΣΧΟΛΙΑ.

713. Ἑξηξάτην ἔν δύο δράκοντε.] Κοινῶς μὲν πᾶσι τοῖς ἥρωσι δράκοντες παρετίθεντο. ἐξαιρέτως δὲ τῶ Ἀσκληπιῶ. δράκοντες δὲ λέγονται ἀπὸ τῦ δέρκω, ὃ ἐστι βλέπω. ὀξυδερκὲς γὰρ τὸ ζῶον. ἀνίεται δὲ τῶ Ἀσκληπιῶ, ἐπειδὴ τὸ γῆρας ἀποβάλλει. καὶ ἡ ἰατρικὴ δὲ φυλάττει φύσει τὸ νέον, ἐξωθῦσα τὰ νοσήματα.

Ὀφρῦς

potius ab ἐξαϊσσω; - than ab ἐξηκω. -

717. She had before been said to be fond of Liquor. 625.

720. ἐνθεως is very good Greek; - but probably ἐυθεως, statim, is the right Word --

728. ω αναξ δεσποτα, probably is Æscu-lapius.

730. περι αυτον, - probably shd be παρ' αυτον.

+ These lines run remarkably smooth, & carry with the appearance of Tragedy.— Perhaps He means here to ridicule some Tragedy of the Times.—

739. ευρυθμοις, perhaps shd be αρρυθμοις— as in Virgil — Det motus incompositos, et Carmina dicat.—

740. ἁπαξαπαντες, as in Line 111, — One & all.

744. It was customary to adorn those who brought any good News, with some trifle or other; — He says therefore that she will adorn Him, with a string of Loaves.

Ὀφρῦς συνῆγον, ἐσκυθρώπαζόν θ' ἅμα.
Οἱ δ' ἠκολούθουν κατόπιν, ἐξεφανωμένοι,
Γελῶντες, εὐφημοῦντες. ἐκτυφεῖτο δὲ
Ἐμβὰς γερόντων εὐρύθμοις προβήμασιν.
Ἀλλ' εἶ', ἅπαξάπαντες ἐξ ἑνὸς λόγου
Ὀρχεῖσθε, κἀσκιρτᾶτε, κἀχορεύετε.
Οὐδεὶς γὰρ ἡμῖν εἰσιοῦσιν ἀγγελεῖ,
Ὡς ἅλφιτ' οὐκ ἔνεστιν ἐν τῷ θυλάκῳ.
ΓΥ. Νὴ τὴν Ἑκάτην. κἀγώ γ' ἀναδῆσαι βούλομαι
Εὐαγγελιά σ' ἐν κριβανωτῶν ὁρμαθῷ,
Τοιαῦτ' ἀπαγγείλαντα. ΚΑ. Μὴ νῦν μέλλ' ἔτι
Ὡς ἄνδρες ἐγγύς εἰσιν ἤδη τῶν θυρῶν.
ΓΥ. Φέρε νῦν, ἰοῦσ' εἶσω, κομίσω καλαχύσματα,
Ὥσπερ νεωνήτοισιν ὀφθαλμοῖς ἐγώ,
ΚΑ. Ἐγὼ δ' ἀπαντῆσαί γ' ἐκείνοις βούλομαι.

ΔΡΑΜΑΤΟΣ τοῦ ΤΡΙΤΟΥ

ΣΚΗΝΗ ΤΡΙΤΗ.

ΠΛΟΥΤΟΣ, ΧΡΕΜΥΛΟΣ, ΓΥΝΗ.

ΚΑΙ προσκυνῶ γε πρῶτα μὲν τὸν Ἥλιον,
Ἔπειτα σεμνῆς Παλλάδος κλεινὸν πέδον,
Χώραν τε πᾶσαν Κέκροπος, ἥ μ' ἐδέξατο.

ΣΧΟΛΙΑ.

748. Φέρε νῦν ἰοῦσα.] Πρὸς τὸ ἔθος παρ' αὐτοῖς. τῶν γὰρ νεωνήτων δούλων τῶν πρῶτον εἰσιόντων εἰς τὸν οἰκίαν, ἢ ἁπλῶς τῶν ἐφ' ὧν οἰωνίσασθαί τι ἀγαθὸν ἐβούλοντο, ὡς καὶ ἐπὶ τοῦ νυμφίου, περὶ τὴν ἑσίαν τὰ τραγήματα κατέχεον, εἰς σημεῖον εὐπορίας.

751. Καὶ προσκυνῶ γε.] Ἐνταῦθα γὰρ χορὸν ὤφειλε θεῖναι καὶ διαλῦσαι μικρὸν, ἄχρις ἂν ἐξελθών τις ἀπαγγέλλοι, ὅπως εἰσίοντος τοῦ Πλούτου, πάντα τὰ τούτων πρὸς τὸ βέλτιον μεταβέβληται.

Αἰσχύνομαι

Αἰσχύνομαι δὲ τὰς ἐμαυτῦ ξυμφορὰς,
Οἵοις ἄρ' ἀνθρώποις ξυνὼν ἐλάνθανον·
Τὰς ἀξίως δὲ τῆς ἐμῆς ὁμιλίας
Ἔφευγον, εἰδὼς ὐδὲν ὁ τλήμων ἐγώ.
Ὡς ὐδ' ἐκεῖν' ἄρ', ὐδὲ ταῦτ' ὀρθῶς ἔδρων.
Ἀλλ' αὐτὰ πάντα πάλιν ἀναστρέψας ἐγὼ,
Δείξω τολοιπὸν πᾶσιν ἀνθρώποις, ὅτι
Ἄκων ἐμαυτὸν τοῖς πονηροῖς ἐνεδίδων.

ΧΡ. Βάλλ' ἐς κόρακας· ὡς χαλεπόν εἰσιν οἱ φίλοι
Οἱ φαινόμενοι παραχρῆμ' ὅταν πράτῃ τις εὖ.
Νύτθσι γὰρ κὴ φλῶσι τἀντικνήμια,
Ἐνδεικνύμενοί γ' ἕκας᾽ εὔνοιάν τινα.
Ἐμὲ γὰρ τίς ὐ προσεῖπε; ποῖ᾽ ὐκ ὄχλ᾽
Περιεσεφάνωσεν ἐν ἀγορᾷ πρεσβυτικός;

ΓΥ. Ὦ φίλτατ' ἀνδρῶν, κὴ σὺ κὴ σὺ χαίρετε.
Φέρε νῦν, νόμ᾽ γάρ ἐστι, τὰ καλαχύσματα
Ταυτὶ καλαχέω σθ λαβοῦσα. ΠΛ. Μηδαμῶς·
Ἐμῶ γὰρ εἰσιόν᾽ εἰς τὴν οἰκίαν
Πρώτιστα, κὴ βλέψαν᾽, ὐδὲν ἐκφέρειν
Πρεπῶδές ἐστιν, ἀλλὰ μᾶλλον εἰσφέρειν.

ΓΥ. Εἶτ' ὐχὶ δέξῃ ταῦτα τὰ καλαχύσματα;

ΠΛ. Ἐνδόν γε παρὰ τὴν ἑστίαν, ὥσπερ νόμ᾽. 775
Ἔπειτα καὶ τὸν φόρτον ἐκφύγοιμεν ἄν.

ΣΧΟΛΙΑ.

762. Βάλλ' ἐς κόρακας.] Ὁ Χρεμύλ᾽ ἀγανακτεῖ, πολλῶν αὐτὸν ἀσπαζομένων κὴ περιεχόντων. οἵ τινες πρὸ τῦ ὐδὲ ἑώρων αὐτὸν πένητα ὄντα, νυνὶ δὲ πλυτήσαντα κολακεύουσιν.

Οὐ

757. ειδως ουδεν, – ut qui nihil discernerem. –

758. αυτα, shd be two words αυ τα

761. ενεδιδουν, – is – tamely giving myself up.

763. Lucian often mentions the parasites οσφραινεμενους, "smelling out" a good dinner. – wherefore some read οσφραι-νομενοι here. –

It was customary for the Διδασκαλος, or author of the Piece, to throw sweetmeats among the Spectators, to make them favourable to his performance.—

783. οικοθεν, is — de suo. — Homer uses it
παντ' εθελω δομεναι και ετ' οικοθεν αλλ'-
-επιθειναι.

786. Some remove this Line entirely.—
or change ᶜΰτω into ουτως.
πραγματι, must be 2 words πραγμα τι-
truly something very clever.
+ The Εμφασις or appearance here of the Author himself is certainly very strange and perhaps improper.— As the Characters are supposed to be talking to each other not by wrote, but in reality;—neither are the Spectators supposed to hear them.— What Business then, can the Author have upon the Stage?—

Οὐ γὰρ πρεπῶδές ἐστι τῷ διδασκάλῳ,
Ἰσχάδια καὶ τρωγάλια τοῖς θεωμένοις
Προβαλόντ', ἐπὶ τούτοισιν ἐπαναγκάζειν γελᾶν.
ΓΥ. Εὖ πάνυ λέγεις, ὡς δὲ ξένικον ἔτοσὶ
Ἀνίσαθ' ὡς ἁρπασόμενον τὰς ἰσχάδας.

ΔΡΑΜΑΤΟΣ ΤΕΤΑΡΤΟΥ

ΣΚΗΝΗ ΠΡΩΤΗ.

ΚΑΡΙΩΝ.

Ὡς ἡδὺ πράττειν, ὦ ἄνδρες, ἐς εὐδαιμόνως,
Καὶ ταῦτα μηδὲν ἐξενεγκόντ' οἴκοθεν.
Ἡμῖν γὰρ ἀγαθῶν σωρὸς εἰς τὴν οἰκίαν
Ἐπεισπέπαικεν ἐδεν ἠδικηκόσιν.
Οὕτω τὸ πλεῖν ἐστιν ἡδὺ πρᾶγμάτι.
Ἡ μὲν σιπύη μεστή ἐστι λευκῶν ἀλφίτων,

ΣΧΟΛΙΑ.

777. Οὐ γὰρ πρεπῶδες.] Ἔμφασις τῦ Αριστοφανέως προσώπου. ὁ δὲ λόγος πρὸς τὰς ἀντιτέχνους, πρὸς διασυρμόν, οἳ διὰ τὸν αὐτῶν ὄχλον, ἐπειρῶντο τὸν δῆμον πρὸς ἑαυτοὺς ἐπάγειν. καὶ ἐν τοῖς Σφηξὶ δὲ ἐσεμνύνετο, ὅτι ἐκ εἰσὶ παρ' αὐτῷ κάρυα ἐκ φορμίδος. φαίνεται μέν τοι τὸ τοιοῦτον ὑ διὰ τῶν χορηγῶν γίνεδαι, ἀλλὰ δι' αὐτῶν τῶν διδασκάλων, ὡς καὶ Ἐρατοσθένης ἐπισημαίνεται.

785. Ἠδικηκόσιν.] Παίζων τοῦτό φησιν, ὡς τῶν πολλῶν, μάλιστα τῶν Ἀθηναίων, ἐξ ἀδικίας πλουτούντων. τὸ δὲ ἐπεισπέπαικεν, εἰσεπήδησεν, εἰσῆλθε. κυρίως δὲ ἐπὶ στρατείας πολεμίων, διὸ παίζων ἐπήνεγκεν, ἐδὲν ἠδικηκόσιν.

787. Ἡ μὲν σιπύη.] Ἐκ τῆς τῶν ἀναγκαίων ἐυπορίας ἤρξατο. σιπύη δὲ ἡ ἀρτοθήκη. ταῦτα δὲ ἐξ Ἰνάχυ Σοφοκλέους, ὅτε τὸ Διὸς εἰσελθόντος, πάντα μεστὰ ἀγαθῶν ἐγένετο. προέχει δὲ τὰ λευκὰ τῶν ἀλφίτων.

Οἱ

Οἱ δ' ἀμφορῆς, οἶνος μέλανος ἀνθοσμίου.
Ἅπαντα δ' ἡμῖν ἀργυρίου καὶ χρυσίου
Τὰ σκευάρια πλήρη ἐστὶν, ὥστε θαυμάσαι.
Τὸ φρέαρ δ' ἐλαίου μεστόν. αἱ δὲ λήκυθοι,
Μύρου γέμουσι. τὸ δ' ὑπερῷον, ἰσχάδων.
Ὀξὶς δὲ πᾶσα, καὶ λοπάδιον, καὶ χυτρα,
Χαλκῆ γέγονε. τὰς δὲ πινακίσκους τὰς σαπρὰς,
Τὰς ἰχθυηρὰς, ἀργυρᾶς πάρεσθ' ὁρᾶν.
Ὁ δ' ἱππὸς ἡμῖν ἐξαπίνης ἐλεφάντινος.
Στατῆρσι δ' οἱ θεράποντες ἀρτιάζομεν
Χρυσοῖς. ἀποψώμεθα δ' ὐ λίθοις ἔτι,
Ἀλλὰ σκοροδίοις ὑπὸ τρυφῆς ἑκάστοτε.
Καὶ νῦν ὁ δεσπότης μὲν ἔνδον βυθυτεῖ,
Ὗν καὶ τράγον καὶ κριὸν ἐστεφανωμένους.
Ἐμὲ δ' ἐξέπεμψεν ὁ καπνός. οὐκ οἷός τε γὰρ
Ἔνδον μένειν ἦν. ἔδακνε γὰρ τὰ βλέφαρά μου.

ΣΧΟΛΙΑ.

788. Μέλανος ἀνθοσμίου.] Μέλανος ἐρυθρᾶς. Ὅμηρος, μέλανος οἴνοιο. ἀνθοσμίου δὲ, ἡδέος, εὐόσμου, ὥσπερ τὰ ἄνθη.

793. Ὀξὶς δὲ πᾶσα.] Ὀξὶς ἀγγεῖον ὄξους δεκλικόν.

797. Στατῆρσι δ' οἱ θεράποντες ἀρτιάζομεν.] Εἰδὸς νομίσματος ἐστὶ στατὴρ. οἱ οἰκέται ἔφη, νομίσμασιν ἀρτιάζομεν ἤγουν παίζομεν ἄρτια ἢ περισσά. παιδιὰ δέ τις ἦν, καθ' ἣν ἐγίνετο πεῦσις τε τοῦ καλασχόνου, καὶ ἀπόκρισις τοῦ προσπαίζοντος.

800. Βυθυτεῖ.] Καταχρηστικῶς εἴρηται ἡ βυθυσία, δηλοῦσα τὸν τε ὄγκον τοῦ μεγέθους καὶ τὸ ἐντελὲς τῆς θυσίας, ἣν ἑκατόμβην καλοῦσιν. ἐντελὴς δὲ θυσία, ἡ ἐξ ὑὸς, ταύρου, τράγου, καὶ κριοῦ, ἣν καλοῦσι τριττύν. τριττὺς δὲ παρ' Ἀθηναίοις ἡ ἐξ ὑὸς καὶ κριοῦ καὶ τράγου θυσία.

αμφορῆς, is the Nominative plural from αμφορεύς, - ηος; - plur - ηες, contrac.d ῆς.

794. Some read σαθρους, instead of σαπρους.
794. χαλχῆ - is the neut. plur. to agree with all. -
796. Ιπνος is altered into Ἶπος; - a Mousetrap.
The word Ἶπος occurs in Prom. 365. and is expl.d by Pavew, - omy; - Ιπος, a Mouse-trap is good sense.
The Στατηρ was a Coin worth about 2s. 6d. -
The golden one - 15 or 16 Shillings. - The sense is, We servants play at chuck or even and odd, with good British Coin. -
par Impar Ludere. - ζυγα η αζυγα -

ΔΡΑΜΑΤΟΣ ΤΕΤΑΡΤΟΥ

ΣΚΗΝΗ ΔΕΥΤΕΡΑ.

ΔΙΚΑΙΟΣ, ΚΑΡΙΩΝ.

Ἔπου μετ' ἐμοῦ παιδάριον, ἵνα πρὸς τὸν θεὸν
Ἴωμεν. ΚΑ. Ἔα, τίς ἐσθ' ὁ προσιὼν ἡτοσί;
ΔΙ. Ἀνὴρ πρότερον μὲν ἄθλιος, νῦν δ' εὐτυχής.
ΚΑ. Δῆλον, ὅτι τῶν χρηστῶν τις, ὡς ἔοικας, εἶ.
ΔΙ. Μάλις'. ΚΑ. Ἔπειτα τοῦ δέη. ΔΙ. Πρὸς τὸν θεὸν
Ἥκω. μεγάλων γάρ μοι ἐστὶν ἀγαθῶν αἴτιος.
Ἐγὼ γὰρ ἱκανὴν οὐσίαν παρὰ τοῦ πατρὸς
Λαβὼν, ἐπήρκουν τοῖς δεομένοις τῶν φίλων,
Εἶναι νομίζων χρήσιμον πρὸς τὸν βίον.
ΚΑ. Ἦπου σε ταχέως ἀπέλιπεν τὰ χρήματα.
ΔΙ. Κομιδῇ μὲν οὖν. ΚΑ. Οὐκοῦν μελὰ ταῦτ' ἦσθ' ἄθλιος;
ΔΙ. Κομιδῇ μὲν οὖν· κἀγὼ μὲν ᾠμην, ὡς τέως
Εὐηργέτησα δεομένους, ἕξειν φίλους
Οὕτως βεβαίους, εἰ δεηθείην ποτέ.
Οἱ δ' ἐξετρέποντο, κοὐκ ἐδόκουν ὁρᾶν μ' ἔτι.
ΚΑ. Καὶ κατεγέλων γ', εὖ οἶδ' ὅτι. ΔΙ. Κομιδῇ μὲν οὖν.
Αὐχμὸς γὰρ ὢν τῶν σκευαρίων μ' ἀπώλεσεν.
ΚΑ. Ἀλλ' οὐχὶ νῦν. ΔΙ. Ἀνθ' ὧν ἐγὼ πρὸς τὸν θεὸν

Προσευξόμενος ἦκω δικαίως ἐνθάδε.

ΚΑ. Τὸ τριβώνιον δὲ, τί δύναται πρὸς τῶν θεῶν, ὃ φέρει μετὰ σοῦ τὸ παιδάριον τυτί; φράσον.

ΔΙ. Καὶ τοῦτ' ἀναθήσων ἔρχομαι πρὸς τὸν θεόν. 825

ΚΑ. Μῶν ἔν ἐμυήθης δῆτ' ἐν αὐτῷ τὰ μεγάλα;

ΔΙ. Οὔκ. ἀλλ' ἐνερρίχωσ' ἔτη τριακαίδεκα.

ΚΑ. Τὰ δ' ἐμβάδια; ΔΙ. Καὶ ταῦτα συνεχειμάζετο.

ΚΑ. Καὶ ταῦτ' ἀναθήσων ἔφερες ἔν; ΔΙ. Νὴ τὸν Δία.

ΚΑ. Χαρίεντά γ' ἦκεις δῶρα τῷ θεῷ φέρων. 830

ΔΡΑΜΑΤΟΣ ΤΕΤΑΡΤΟΥ.

ΣΚΗΝΗ ΤΡΙΤΗ.

ΣΥΚΟΦΑΝΤΗΣ, ΚΑΡΙΩΝ, ΔΙΚΑΙΟΣ.

Οἴ μοι κακοδαίμων, ὡς ἀπόλωλα δείλαιος.
Καὶ τρισκακοδαίμων, κὴ τετράκις κὴ πενταάκις
Καὶ δωδεκάκις, κὴ μυριάκις. ἰώ. ἰώ.

ΣΧΟΛΙΑ.

826. Μῶν ἔν ἐμυήθης.] Παίζει παρὰ τὸν Ελευσίνιον νόμον. ἔθος γὰρ ἦν ἐν οἷς τις ἱματίοις μυηθείη, εἰς θεῶν τινα ταῦτα ἀναθεῖναι ὥσπερ δηλοῖ κὴ Μελάνθιος ἐν τῷ περὶ μυστηρίων. πάτριόν ἐστι ταῖς θεαῖς ἀνιερῶν κὴ τὰς στολὰς τῆς μύσας ἐν αἷς τύχοιεν μυηθέντες. μυστήρια δὲ δύο τελεῖται τῇ ἐνιαυτῇ Δήμητρι κὴ Κόρῃ, τὰ μικρὰ κὴ τὰ μεγάλα. κὴ ἔστι τὰ μικρὰ ὥσπερ προκάθαρσις κὴ προάγνευσις τῶν μεγάλων.

831. Οἴμοι κακοδαίμων.] Ἐχρῆν κἀνταῦθα θεῖναι χορὸν, εἰ σιόντων τῶν ὑποκριτῶν ἐντὸς, ἀχρις ἂν τις ἐπέλθῃ ὑποκρίλης ἕτερος.

Οὔτε

εὐχαριστοῦμεν is to give thanks as well as to offer up prayers.

ἔξω is generally observed to be applied to the Body; - ἔσω, to the Mind. - Here the Body is meant.

+ Not the present. - Ironically. +

- δειλαῖος must have the penultima short.

σχεδία, must be a tribrach.

840. μὴ λίπωσιν. – f. μὴ ἐκλίπωσιν.

844. Καλῶς ποιῶν, is according to his deserts; – not, acting well.

Οὕτω πολυφόρῳ συγκέκραμαι δαίμονι;
ΚΑ. Ἄπολλον ἀποτρόπαιε, καὶ θεοὶ φίλοι.
Τί ποτ' ἐστὶν ὅ,τι πέπονθεν ἄνθρωπος κακόν;
ΣΥ. Οὐ γὰρ σχέτλια πέπονθα νυνὶ πράγματα,
Ἀπολωλεκὼς ἅπαντα τἀκ τῆς οἰκίας
Διὰ τὸν θεὸν τοῦτον, τὸν ἐσόμενον τυφλὸν
Πάλιν αὖθις, ἤνπερ μὴ λίπωσιν αἱ δίκαι;
ΔΙ. Ἐγὼ σχεδὸν τὸ πρᾶγμα γινώσκειν δοκῶ.
Προσέρχεταί γάρ τις κακῶς πράττων ἀνὴρ,
Ἔοικε δ' εἶναι τῶ πονηρῶ κόμματος.
ΚΑ. Νὴ Δία, καλῶς τοίνυν παιῶν, ἀπόλλυται.
ΣΥ. Πῶ πῶ 'δ' ὁμόνους ἅπαντας ἡμᾶς πλησίους
Ὑποσχόμενος ἔτος ποιήσειν εὐθέως,
Εἰ πάλιν ἀναβλέψειεν ἐξαρχῆς; ὁ δὲ
Πολὺ μᾶλλον ἐνίους ἐστὶν ἐξολωλεκώς.
ΚΑ. Καὶ τίνα δέδρακε δῆτα ταῦτ'; ΣΥ. Ἐμὲ τουτονί.
ΚΑ. Ἦ τῶν πονηρῶν ἦθα καὶ τοιχωρύχων.
ΣΥ. Μὰ Δί', ἔμενεν ἔθ' ὑγιὲς ὑμῶν ἑδενὸς,
Κἀκ ἔθ' ὅπως ἐκ ἔχετε μὴ τὰ χρήματα.
ΚΑ. Ὡς σοβαρὸς, ὦ Δάματερ, εἰσελήλυθεν

ΣΧΟΛΙΑ.

834. Οὕτω πολυφόρῳ.] Εἴρηται ἀπὸ τοῦ πολὺ ὕδωρ ἐπιδεχομένου εἶναι, ἤγουν ἀκράτῳ καὶ ἰσχυρῷ πρὸς τὸ κακόν. εἴρηται δὲ, ὅτι πολύφορον μὲν ἔλεγον τὸν πολλὴν κρᾶσιν δεχόμενον. ὀλιγόφορον δὲ, τὸν ὀλίγην.

844. Εἶναι τῶ πονηρῶ κόμματος.] Ἐπειδὴ καὶ περὶ πλούτου ὁ λόγος, εἴρηται ἀπὸ μεταφορᾶς τῶν κιβδήλων νομισμάτων διὰ τὸ ὀλίγον μὲν ἔχειν χρυσὸν, πλείονα δὲ χαλκόν.

Ὁ συκοφάντης. δῆλον ὅτι βωλιμιᾷ.

ΣΥ. Σὺ μὲν εἰς ἀγορὰν ἰὼν ταχέως, ὃκ ἂν φθάνοις.

Ἐπὶ τῇ τροχῇ γὰρ δεῖ σ' ἐκεῖ ςρεβλώμενον
Εἰπεῖν ἃ πεπανούργηκας. ΚΑ. Οἴμωζ' ἄρα σύ.

ΔΙ. Νὴ τὸν Δία τὸν σωτῆρα, πολλῇ γ' ἀξίως
Ἅπασι τοῖς Ἕλλησιν ὁ θεὸς ἔῳθ', ὅτι
Τὺς συκοφάνλας ἐξολεῖ κακὺς κακῶς.

ΣΥ. Οἴμοι τάλας. μῶν κὴ σὺ μετέχων καταγελᾷς;
Ἐπεὶ πόθεν ἁοιμάτιον εἴληφας τοδί;
Ἐχθὲς δ' ἔχοντ' εἶδόν σ' ἐγὼ τριβώνιον.

ΔΙ. Οὐδὲν ςροτιμῶ σε. φορῶ γὰρ πριάμενος
Τὸν δακτύλιον τονδὶ παρ' Εὐδάμε, δραχμῆς.

ΚΑ. Ἀλλ' ὃκ ἔνεςι συκοφάντε δήγματος.

ΣΥ. Ἆρ' ὃχ ὕβρις ωολλὴ ὅτι ταῦτα; σκώπτελον,
Ὅτι δὲ ποιεῖτον ἐνθάδ' ὃκ εἰρήκατον.

ΣΧΟΛΙΑ.

854. Βωλιμιᾷ.] Πάνυ λιμώτλει, κὴ πεινᾷ λίαν. ἀπὸ τῦ βε ἐπιῤῥήμαλος ὅπερ ἐπιλάσεώς ἐςι δηλωλικὸν, ἀντὶ τῦ λίαν, ὥσπερ κὴ ἐν τῷ βάπεινα, μεγάλη πείνα, βεγαλος, κὴ βάγλωσσος. τινὲς δὲ εἶδος νόσε φασίν, ἐν ᾗ πολλὰ ἐσθίοντες, ὑ πληρῶνται. τῶν γὰρ συκοφαντῶν τοιῦτος ὁ τρόπος.

856. Ἐπὶ τῇ τρόχῃ.] Τροχίς τις ἦν ἐν ᾧ δεσμέμενοι οἱ οἰκέται, ἐκολάζονλο. τῦτο δὲ λέγει ὁ ἄδικος ωρὸς τὸν θεράποντα.

864. Οὐδὲν ωρολιμῶ σε.] Οὐ φρονλίζω σε. εἰρῆλαι δὲ τὸ ωροτιμᾶν ἐπὶ τῷ λόγον ἔχειν κὴ ἐπισρέφεσθαι· λέγει ἕν, ὑ φοβῦμαί σε ἔχων φυσικὸν δακλύλιον. δακλύλιον δὲ τὸν λεγόμενον φαρμακίτην. Εὔπολις Βάπλαις μέμνηλαι. ὁ δ' Εὐδαμος φαρμακοπώλης κὴ Ἀμειψίας ἢ χρυσοπώλης, τετελεσμένος δακλυλίους ωωλῶν. φιλόσοφος δὲ ἦν ἔτος ὁ Εὐδαμος φυσικὺς δακλυλίους ποιῶν ωρὸς δαίμονα κὴ ὄφεις κὴ τὰ τοιαῦτα. ἐθεράπευον γὰρ τὺς ὀφιοδήκλους, μᾶλλον δὲ τὴν ἀρχὴν ὃκ εἴων ὑπ' ὀφεων δάκνεσθαι.

Οὐκ

854. Δικαιος ought to say – δηλον οτι –

857. Αρα, shd be circumflexed. –

866. pro ενεστι, αν' εστι. – not of use – against the Bite of a Sycophant.

867. πολλη. οτι – neither sense nor metre – it shd be τοδ' εστι. –

Βυπαις, Anglice Booby. –

Οὐκ ἐπ' ἀγαθῷ γὰρ ἐνθάδ' ἐςὸν ὐδενί.

ΚΑ. Μὰ τὸν Δί', ὔκων τῷ γε σῷ, σάφ' ἴσθ' ὅτι.

ΣΥ. Ἀπὸ τῶν ἐμῶν γὰρ, ναὶ μὰ Δία, δειπνήσετον.

ΔΙ. Ὡς δὴ 'π' ἀληθείᾳ σὺ μετὰ τοῦ μάρτυρος
Διαῤῥαγείης, μηδενὸς ἐμπεπλησμένος.

ΣΥ. Ἀρνεῖσθον; ἔνδον ἐςὶν, ὦ μιαρωτάτω,
Πολὺ χρῆμα τεμαχῶν. καὶ κρεῶν ὠπτημένων.
Ὗ ὗ, ὗ ὗ, ὗ ὗ, ὗ ὗ, ὗ ὗ, ὗ ὗ.

ΚΑ. Κακόδαιμον, ὀσφραίνει τί; ΔΙ. Τοῦ ψύχους γ' ἴσως,
Ἐπεὶ τοιοῦτον ἀμπέχεται τριβώνιον.

ΣΥ. Ταῦτ' οὖν ἀνάσχετ' ἐςὶν, ὦ Ζεῦ καὶ θεοὶ,
Τούτους ὑβρίζειν εἰς ἔμ'. οἴμ' ὡς ἄχθομαι.
Ὅτι χρηςὸς ὢν καὶ φιλόπολις, πάσχω κακῶς.

ΔΙ. Σὺ φιλόπολις καὶ χρηςός; ΣΥ. Ὡς οὐδεὶς ἀνήρ.

ΔΙ. Καὶ μὴν ἐπερωτηθεὶς ἀπόκριναί μοι. ΣΥ. Τὸ τί;

ΔΙ. Γεωργὸς εἶ; ΣΥ. Μελαγχολᾷν μ' οὕτως οἴει;

ΣΧΟΛΙΑ.

872. Μετὰ τοῦ μάρτυρος.] Κλήτορα γὰρ ἤγετο, ἵνα αὐτοὺς εἰς δίκην καλέσῃ. ἄλλως. τῷ συκοφάντῃ ἕπεταί τις ὥςε μαρτυρεῖν.

876. ὗ, ὗ.] Διὰ τῶν ψιλῶν τούτων υ δείκνυσι ὅτι χοιρείων κρεῶν ὀσμῆς ᾔσθετο. ἄλλως. ὗ, ὗ, ἐπίῤῥημα θαυμαςικόν. ἢ ὀσφραινόμενος τοῦτό φησι.

884. Μελαγχολᾷν μ' οὕτως οἴει.] Ὥσπερ οἱ μαινόμενοι τὴν ἐν τοῖς πλήθεσι διατριβὴν ἀπαναινόμενοι ἐν ἐρημίαις φέρονται, διὰ τοῦτο καὶ τὴν τῶν γεωργῶν διατριβὴν μελαγχολίαν ὠνόμασεν, ὡς ἐν ἀγροῖς γινομένην.

ΔΙ.

ΔΙ. Ἀλλ' ἔμπορος; ΣΥ. Ναὶ σκήπτομαί γ' ὅταν τύχω.

ΔΙ. Τί δαί; τέχνην τίν' ἔμαθες; ΣΥ. Οὐ μὰ τὸν Δία.

ΔΙ. Πῶς ἂν διέζης, ἢ πόθεν, μηδὲν ποιῶν;

ΣΥ. Τῶν τῆς πόλεώς εἰμ' ἐπιμελητὴς πραγμάτων Καὶ τῶν ἰδίων πάντων. ΔΙ. Σύ; τί μαθών; ΣΥ. Βέλομαι.

ΔΙ. Πῶς ἂν εἴης χρηστός, ὦ τοιχωρύχε, Εἴ σοι προσῆκον μηδὲν, εἶτ' ἀπεχθάνει;

ΣΥ. Οὐ γὰρ προσήκει τὴν ἐμαυτῷ μοι πόλιν Εὐεργετεῖν μ', ὦ κέπφε, καθ' ὅσον ἂν δένω;

ΔΙ. Εὐεργετεῖν ἔστ' ἐστὶ τὸ πολυπραγμονεῖν;

ΣΥ. Τὸ μὲν ἔστ βοηθεῖν τοῖς νόμοις τοῖς κειμένοις, Καὶ μὴ 'πιτρέπειν πότ', ἤν τις ἐξαμαρτάνῃ.

ΣΧΟΛΙΑ.

885. Σκήπτομαί γ' ὅταν τύχω.] Τινὲς τῶν πολιτῶν νίκα χρημάτων ἢν εἰσφορὰ πρὸς τὴν πόλιν, τὴν ἐμπορίαν ἐπροφασίζοντο, τὴν εἰσφορὰν βελόμενοι φυγεῖν. ἀζήμιοι γὰρ ἦσαν διεφυλάττοντο ὡς φησιν Εὐφρόνιος. ὡς τὴν πόλιν ὠφελοῦντες πλεῖσα, διὰ τῆς αὐτῶν ἐμπορίας. διὸ καὶ ὁ συκοφάντης λέγει, ὅτι ὅταν γένηταί τις κακὸς πολέμιος, καὶ εἰσφορᾶς, ἔμπορον ἐμαυτὸν ἀποκαλῶ.

888. Τῶν τῆς πόλεως εἰμί.] Τῶν δημοσίων πραγμάτων φροντιστής. οἷον χορηγίας. τριπαρχίας καὶ τῶν τοιούτων. ἰδίων καὶ τῶν καθ' ἕκαστον. οἷον εἰ ἀδικοῖτό τις καὶ δικάζοιτο πρός τινα, αὐτὸς ἐφρόντιζεν.

893. Ὦ κέπφε.] Ὦ εὐηλεκτάλε καὶ λάλε. φασὶ γὰρ τὸν κέπφον εὐηλεκτάλον καὶ λάλον. ὄρνεον γὰρ ἄφρον, ὅπερ φιλεῖ ἀφρὸν θαλάττιον ἐσθίειν. τοῦτο βελόμενοι οἱ τῶν ἁλιέων παῖδες χειρώσασθαι, ῥίπτουσι τὸ πρῶτον πόρρωθεν ἀφρόν, εἶτα ἐγγύτερα, εἶτα φέρουσι τοῦτο ἐν ταῖς χερσίν. καὶ ὕτω καλὰ μικρὸν ἀπατῶντες, εὐχερῶς ἀγρεύουσι τοῦτο ἐμπεσὸν εἰς τὰς χεῖρας αὐτῶν. εἴληπται δὲ εἰς παροιμίαν ἐπὶ τῶν ἀλογίστων ἀνδρῶν καὶ ἀνοήτων· καλεῖται δὲ κοινῶς λάρος.

ΔΙ

885. ὅταν τυχοι. –

889.
Some read τι παθων. –

891. εἶτα – is not "then", only – but – "besides too"

897. Ἐξεπίτηδες not frustra; but consultò, or ex industriâ.

903. λεγεις εχοντα προβατιου —

906. Callimachus mentions Battus.
Φοιβος κ̀ βαθυγειον εμην πολιν εφρασε Βαττω

ΔΙ. Οὐκοῦν δικασὰς ἐξεπίτηδες ἡ πόλις
Ἄρχειν καθίστησιν. ΣΥ. Κατηγορεῖ δὲ τίς;
ΔΙ. Ὁ βελόμενος. ΣΥ. Οὐκοῦν ἐκεῖνός εἰμ' ἐγώ.
Ὡς εἰς ἐμ' ἥκει τῆς πόλεως τὰ πράγματα.
ΔΙ. Νὴ Δία, πονηρόν γ' ἄρα προσάτην ἔχει.
Ἐκεῖνο δ' ἂ βέλοι' ἂν, ἡσυχίαν ἔχων
Ζῆν ἀργός; ΣΥ. Ἀλλὰ προβατίῳ βίον λέγεις,
Εἰ μὴ φανεῖται διατριβή τις τῷ βίῳ.
ΔΙ. Οὐδ' ἂν μεταμάθοις; ΣΥ. Οὐδ' ἂν εἰ δοίης γέ μοι
Τὸν Πλοῦτον αὐτὸν, καὶ τὸ Βάττου σίλφιον.
ΔΙ. Κατάθου ταχέως ἱματίου. ΚΑ. Οὗτος, σοὶ λέγει.
ΔΙ. Ἔπειθ' ὑπόλυσαι. ΚΑ. Πάντα ταῦτα σοὶ λέγει.
ΣΥ. Καὶ μὴν προσελθέτω πρὸς ἐμ' ὑμῶν ἐνθαδί,
Ὁ βελόμενος. ΚΑ. Οὐκοῦν ἐκεῖνος εἶμ' ἐγώ.

ΣΧΟΛΙΑ.

905. Οὐδ' ἂν μεταμάθοις.] Ἀντὶ τοῦ ἀναπαύσοιο. κυρίως δὲ μεταμαθεῖν ἔλεγον, τὸ μετὰ ταῦτα ἕτερόν τι μαθεῖν ἀφιεμένου τοῦ πρώτου.

906. Καὶ τὸ Βάττου σίλφιον.] Βάττος Κυρήνην ἔκτισεν ἐλθὼν ἀπὸ Θήρας τῆς κατὰ Κρήτην νήσου. ὃν τιμήσαντες Λίβυες, ἐχαρίσαντο αὐτῷ τὸ κάλλιστον τῶν λαχάνων τὸ σίλφιον, καὶ ἐν νομίσματι αὐτὸν ἐχάραξαν, τῇ μὲν βασιλείαν, τῇ δὲ σίλφιον παρὰ τῆς πόλεως δεχόμενον. ὡς Ἀριστοτέλης ἐν τῇ Κυρηναίων πολιτείᾳ. ἔνθεν καὶ ἡ παροιμία ἐπὶ τῶν διαφόρως καὶ ἐξόχως τιμὰς δεχομένων. ἀλλως. σίλφιον βοτάνη πολυτίμητος.

910. Οὐκοῦν ἐκεῖνος εἶμ' ἐγώ.] Ἐκεῖνός εἰμι ἐγώ φησὶν ὁ μέλλων σοι προσελθεῖν. τοῦτο ὁ θεράπων ἀποσκώπτων λέγει. ἅμα δὲ καὶ μιμεῖται τὰ παρ' αὐτοῦ ἄνω εἰρημένα. ἐν ὅσῳ δὲ λέγουσιν, ἀπέδυσεν.

ΔΥ.

ΔΥ. Οἴμοι τάλας. ἀποδύομαι μεθ' ἡμέραν.
ΚΑ. Σὺ γὰρ ἀξιοῖς τἀλλότρια πράττων ἐᾶθ' εἶναι.
ΣΥ. Ὁρᾷς ἃ ποιεῖς; ταῦτ' ἐγὼ μαρτύρομαι.
ΚΑ. Ἀλλ' οἴχεται φεύγων ὃν ἦγες μάρτυρα.
ΣΥ. Οἴ μοι. περιείλημμαί μου. ΚΑ. Νυνὶ βοᾷς;
ΣΥ. Οἴ μοι μάλ' αὖθις. ΚΑ. Δὸς σύ μοι τὸ τριβώνιον
Ἵν' ἀμφιέσω τὸν συκοφάντην τουτονί.
ΔΙ. Μὴ δῆθ', ἱερὸν γάρ ἐστι τῆ Πλούτου πάλαι.
ΚΑ. Ἔπειτα πῆ κάλλιον ἀνατεθήσεται,
Ἢ περὶ πονηρὸν ἄνδρα κἀποιχωρύχον;
Πλοῦτον δὲ κοσμεῖν ἱματίοις σεμνοῖς πρέπει.
ΔΙ. Τοῖς δ' ἐμβαδίοις τί χρήσεταί τις; εἰπέ μοι.
ΚΑ. Καὶ ταῦτα πρὸς τὸ μέτωπον αὐτίκα δὴ μάλα
Ὥσπερ κοτίνῳ προσπατταλεύσω τουτωί.
ΣΥ. Ἀπειμι. γινώσκω γὰρ ἥττων ὢν πολὺ
Ὑμῶν. ἐὰν δὲ σύζυγον λάβω τινὰ
Καὶ σύκινον, τὸν ἰσχυρὸν τοῦτον θεόν

ΣΧΟΛΙΑ.

911. Μεθ' ἡμέραν.] Ἀντὶ τοῦ ἐν ἡμέρᾳ. Ἀττικὸν τὸ σχῆμα. μεθ' ἡμέραν γάρ φασιν, ἐκ δὲ ἡμέρᾳ.

924. Ὥσπερ κοτίνῳ προσπατταλεύσω.] Ὅτι ἐπὶ τῶν κολίνων καὶ ἄλλων δένδρων παίζων ἐν τοῖς ἱεροῖς προσπατταλεύουσι τὰ ἀναθήματα. ἄλλως. εἰώθασι τοῖς δένδροις κῶλα καὶ κρανία προσπατταλεύειν πρὸς ἀποτροπὴν βασκανίας οἱ γεωργοί, πρὸς τὸ μὴ ξηρανθῆναι αὐτά. ἄλλως. ἔθος ἦν τὸν θηρῶντάς τινα ἄγραν, μέρος τι τῷ θηρωμένῳ κεφαλὴν ἢ πόδα προσηλοῦν πασσάλῳ ἐπί τινος δένδρου εἰς αὐτὴν τὴν ὕλην, πρὸς τιμὴν τῆς Ἀρτέμιδος.

927. Καὶ σύκινον.] Ἴσον τῷ ἀσθενέστατον. τὸ γὰρ ξύλον τῆς συκῆς ἀσθενὲς καὶ χαῦνον. ὅθεν καὶ συκίνη ἐπικρία ἀντὶ τοῦ ἀσθενὴς καὶ ἀνωφελής.

Ἐγὼ

910. μεθ' ημεραν, in open day light.

913. – Some read ποιει, – addressing himself to the μαρτυς, supposing him to be there.

914. Ὁν ηγες μαρτυρα εφευξεν, is the same construction, as Urbem quam Statuo vestra est. in Virgil

917. αμφιεσω, ab αμφι & ἑω indus.

924. The penult. of τυτωι is made short, as in Line 44.

927. Dr Bently reads –

Κ̣ συκινον τυτον τον ισχυρον θεον

to preserve the metre.

μην- 932.

934. θερȣ- warm grass.

940. νεȣ 7ȣ7ȣ. f. νεοβλεπ7ȣ.

Ἐγὼ ποιήσω τήμερον δοῦναι δίκην·
Ὅτι καταλύει περιφανῶς, εἷς ὢν μόνος,
Τὴν δημοκρατίαν, οὔτε τὴν βουλὴν πιθὼν
Τὴν τῶν πολιτῶν, οὔτε τὴν ἐκκλησίαν.
ΔΙ. Καὶ μὲν ἐπειδὴ τὴν πανοπλίαν τὴν ἐμὴν
Ἔχων βαδίζεις, εἰς τὸ βαλανεῖον τρέχε·
Ἔπειτ' ἐκεῖ κορυφαῖος ἑστηκὼς, θέρου·
Κἀγὼ γὰρ εἶχον τὴν στάσιν ταύτην ποτέ.
ΚΑ. Ἀλλ' ὁ βαλανεὺς ἕλξει θύραζέ· γνώσεται
* * * * * * *
Ὅτ' ἔστ' ἐκείνου τοῦ πονηροῦ κόμματος·
Νῷ δ' εἰσίωμεν ἵνα προσεύξῃ τὸν Θεόν.

ΔΡΑΜΑΤΟΣ ΤΕΤΑΡΤΟΥ.

ΣΚΗΝΗ ΤΕΤΑΡΤΗ.

ΓΡΑΥΣ, ΧΟΡΟΣ, ΧΡΕΜΥΛΟΣ.

Ἆρ' ὦ φίλοι γέροντες, ἐπὶ τὴν οἰκίαν
Ἀφίγμεθ' ὄντως τοῦ νέου τούτου θεοῦ,
Ἢ τῆς ὁδοῦ τοπαράπαν ἡμαρτήκαμεν;
ΧΟ. Ἀλλ' ἴσθ' ἐπ' αὐτὰς τὰς θύρας ἀφιγμένη,
Ὦ μειρακίσκη, πυνθάνει γὰρ ὡρικῶς.
ΓΡ. Φέρε νῦν ἐγὼ τῶν ἔνδοθι καλέσω τίνα;

ΣΧΟΛΙΑ.

930. Οὔτε τὴν βουλὴν πιθών.] Ἀντὶ τοῦ πείσας. ὅσα δὲ τῇ βουλῇ δόξει, ταῦτα ἐπὶ τὸν δῆμον ἀναφέρεται. καὶ ἐκ τοῦ ἐναντίου, τὰ ὑπὸ τοῦ δήμου ψηφιζόμενα ὑπὸ τῆς βουλῆς κυροῦται.

939. Ἆρ' ὦ φίλοι γέροντες.] Γραῦς ἐστί τις, ἥτις πρώην ἐμισθώσατο νεανίσκον δίκαιον, ἐπὶ τῷ γαμεῖν αὐτήν. οὗτος δὲ πλουτήσας νῦν ὡς δίκαιος, εἴασεν αὐτήν. διὸ καὶ καταβοᾷ τοῦ Πλούτου

Χρ. Μὴ δῆτ', ἐγὼ γὰρ αὐτὸς ἐξελήλυθα.
Ἀλλ' ὅτι μάλις' ἐλήλυθας, λέγειν ἐχρῆν.
Γρ. Πέπονθα δεινὰ κ' παράνομ', ὦ φίλτατε.
Ἀφ' ἧς γὰρ ὁ θεὸς ὅτῳ ἤρξατο βλέπειν,
Ἀβίωτον εἶναί μοι πεποίηκε τὸν βίον.
Χρ. Τί δ' ἐστίν; ἦπου κ' σὺ συκοφάντρια
Ἐν ταῖς γυναιξὶν ἦθα; Γρ. Μὰ Δί' ἐγὼ μὲν οὔ.
Χρ. Ἀλλ' ὦ λαχᾶς' ἔπινες ἐν τῷ γράμματι;
Γρ. Σκώπτεις, ἐγὼ δὲ καλακέκνισμαι δεινὰ κρα.
Χρ. Οὔκουν ἐρεῖς ανύσασα τὸν κνισμὸν τίνα;
Γρ. Ἀκουέ νυν. ἦν μοι τὶ μειράκιον φίλον,
Πενιχρὸν μὲν, ἄλλως δ' εὐπρόσωπον κ' καλὸν,
Καὶ χρηστόν. εἰ γάρ τω δεηθείην ἐγὼ,
Ἅπαντ' ἐποίει κοσμίως μοι κ' καλῶς.
Ἐγὼ δ' ἐκείνῳ πάντα ταῦθ' ὑπηρέτην.
Χρ. Τί δ' ἦν ὅ,τι σε μάλις' ἐδεῖθ' ἑκάστοτε;
Γρ. Οὐ πολλά. κ' γὰρ ἐκνομίως μ' ἠσχύνετο.
Ἀλλ' ἀργυρίου δραχμὰς ἂν ἤτησ' εἴκοσιν
Εἰς ἱμάτιόν γ'· ὀκτὼ δ' ἂν εἰς ὑποδήματα·
Καὶ ταῖς ἀδελφαῖς ἀγοράσαι χιτώνιον
Ἐκέλευσεν ἄν, τῇ μητρί τε θοιμάτιδιον.
Πυρῶν τ' ἂν ἐδεήθη μεδίμνων τετάρων.
Χρ. Οὐ πολλὰ τοίνυν μὰ τὸν Ἀπόλλω ταῦτά γε

ΣΧΟΛΙΑ.

952. Ἀλλ' ὦ λαχᾶς' ἔπινες.] Παρ' ὑπόνοιαν, ἀντὶ τοῦ ἐδίκαζες. ὅτι δὲ κατὰ γράμμα ἐκληροῦντο, προείρηται.

961. Ἐκνομίως.] Ἀντὶ τοῦ ὑπερφυῶς, ὑπερβαλλόντως, μεγάλως. κυρίως δὲ τὸ ὑπὲρ τὸ νενομισμένον.

Εἴρηκας.

953. The γραμμα or συμβολον is mentioned in p. 19.

959. εγω δ' εκεινῳ πάντα γ' αν θ' υπηρετουν — i.e. I in my turn —

971. μεμνητο, for εμεμνητο - This shews the Attics do leave out the augment -

982. ησαν, fuerunt. Just Ilium &c
983. ὁ μοχθηρος. - very obliging.

τω θεω - Castor & Pollux.

Εἴρηκας. ἀλλὰ δῆλον, ὅτι σ' ἠσχύνεσο.
ΓΡ. Καὶ ταῦτα τοίνυν οὐχ ἕνεκεν μισητίας
Αἰτεῖν μ' ἔφασκεν, ἀλλὰ φιλίας ἕνεκα.
Ἵνα τὠμὸν ἱμάτιον φορῶν μεμνῆτό μου.
ΧΡ. Λέγεις ἐρῶντ' ἄνθρωπον ἐνομιώταλα.
ΓΡ. Ἀλλ' οὐχὶ νυνί γ' ὁ βδελυρὸς τὸν νοῦν ἔχει,
Τὸν αὐτόν. ἀλλὰ πολὺ μεθέστηκεν πάνυ.
Ἐμοῦ γὰρ αὐτῷ τὸν πλακοῦντα τιλονί,
Καὶ τἄλλα τἀπὶ τοῦ πίνακος τραγήματα
Ἐπόντα πεμψάσης, ὑπειπούσης θ' ὅτι
Εἰς ἑσπέραν ἥξοιμι. ΧΡ. Τί σ' ἔδρασ', εἰπέ μοι.
ΓΡ. Ἀμπτά τε προσέπεμψεν ἡμῖν τιλονί,
Ἐφ' ᾧτ' ἐκεῖσε μηδέποτέ μ' ἐλθεῖν ἔτι.
Καὶ πρὸς ἐπὶ τούτοις, εἶπεν ἀποπέμπων, ὅτι
Πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι.
ΧΡ. Δῆλον, ὅτι τὸς τρόπους τὶς ὁ μοχθηρὸς ἦν.
Ἔπειτα πλουτῶν. οὐκ ἔθ' ἥδεται φακῇ.
Προτοῦ δ' ὑπὸ τῆς πενίας ἅπαντα κατήδιεν.
ΓΡ. Καὶ μὴν προτοῦ γ' ὀσημέραι, νὴ τὼ θεώ,
Ἐπὶ τὴν θύραν ἐβάδιζεν αἰεὶ τὴν ἐμήν.

ΣΧΟΛΙΑ.

979. Ἀμπτά τε προσέπεμψεν.] Εἶδος πλακοῦντος γαλακτώδους. ὁ μόνον ὅτι οὐκ ἐδέξαλο τὰ δῶρά μου, ἀλλὰ κὴ οἴκοθεν ἔπεμψέ μοι ἄλλο πλακούντιον, ὡς ἂν λέγων, μηκέτι ἐκεῖσε πατῆσαι.

982. Πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι.] Τινές φασιν, ὅτι ἐν τοῖς παλαιοῖς χρόνοις, ἰσχυρότατοι ἦσαν οἱ Μιλήσιοι. κὴ ἅπαν προσελίθενλο, πάντως ἐνίκων. Πολυκράτης ἦν ὁ Σάμιος συγκροτῶν πρός τινα πόλεμον, ἠθέλησε λαβεῖν αὐτὸς εἰς συμμαχίαν κὴ εἰς τὸ μανλεῖον ἀπῆλθεν ἐρωτήσων περὶ τούτου. ὁ δὲ θεὸς ἔχρησεν, Πάλαι ποτ' ἦσαν ἄλκιμοι Μιλήσιοι.

ΧΡ. Ἐπ' ἐκφοράν. ΓΡ. Μὰ Δί', ἀλλὰ τῆς φωνῆς μόνον
Ἐρῶν ἀκοῦσαι. ΧΡ. Τοῦ λαβεῖν μὲν οὖν χάριν.
ΓΡ. Καὶ νὴ Δί', εἰ λυπημένην γ' αἴσθοιτό με, 990
Νιτάριον ἂν κ' Βάτιον ὑπεκορίζετο.
ΧΡ. Ἔπειτ' ἴσως ἤτησεν ἄν σ' ὑποδήματα.
ΓΡ. Μυκηρίοις δὲ τοῖς μεγάλοις ὀχημένην
Ἐπὶ τῆς ἁμάξης, ὅτι προσέβλεψέν μέ τις,
Ἐτυπτόμην διὰ τοῦθ' ὅλην τὴν ἡμέραν. 995
Οὕτω σφόδρα ζηλότυπος ὁ νεανίσκος ἦν.
ΧΡ. Μόνος γὰρ ἥδε', ὡς ἔοικεν, ἐθίων.
ΓΡ. Καὶ τάς γε χεῖρας, παγκάλως ἔχειν μ' ἔφη.
ΧΡ. Ὁπότε προλείνοιέν γε δραχμὰς εἴκοσιν.
ΓΡ. Ὄζειν τε τῆς χρόας ἔφασκεν ἡδύ μοι. 1000
ΧΡ. Εἰ Θάσιον ἐνέχεις, εἰκότως γε, νὴ Δία.
ΓΡ. Τὸ βλέμμα θ' ὡς ἔχοιμι μαλακὸν κ' καλόν.
ΧΡ. Οὐ σκαιὸς ἦν ἄνθρωπος. ἀλλ' ἠπίστατο
Γραὸς καπρώσης ταφόδια κατεδίειν.
ΓΡ. Ταῦτ' ἦν ὁ θεὸς, ὦ φίλ' ἄνερ, οὐκ ὀρθῶς 1005
ποιεῖ,
Φάσκων βοηθεῖν τοῖς ἀδικουμένοις ἀεί.
ΧΡ. Τί γὰρ ποιήσει, φράζε, κ' πεπράξεται.

ΣΧΟΛΙΑ.

991. Νιτάριον ἂν κ' Βάτιον.] Σύμμαχός φησι, Νίταρος πολὺς ἐπὶ μαλακίᾳ ὀνειδιζόμενος ἐν τοῖς ἐξῆς δράμασι, κ' Βάτος. κ' τὰς μικρὰς κ' ἁπλείας, Βαβύλας ἔλεγον· κ' Θεοπόμπου δράμα ἐστὶ Βαβύλη. τινὲς δὲ νιτάριον κ' βάτον εἶδη φυτῶν. θέλει δ' ἂν εἰπεῖν, ὅτι ὡς ἄνθη με εἶχε. Δίδυμος δέ φησιν, ὑποκορίσματα πρὸς γυναῖκας. νιτάριον δὲ, νεότιον, οἱονεὶ κοράσιον.

994. Ἐπὶ τῆς ἁμάξης.] Αἱ γὰρ τῶν Ἀθηναίων γυναῖκες ἐπὶ ἁμαξῶν ὀχούμεναι εἰς τὰ μεγάλα Ἐλευσίνια ἀπήρχοντο.

ΓΡ.

988. ἐκφορα particularly refers to the carrying out of a dead Body. — and upon this the humour turns. —

991. Νηττάριον, a duckling, & Φάττιον a Dove, are good readings, perhaps the true ones.

995. ἐτυπτομην — is only "I was teazed"

997. μονος, — Keeping it all to himself.

1001. Θασιον — Sub. οινον. — Virgil mentions the Thasia vites. —

1000. ὀζειν τε την χροαν. —

1003. — ὁ σκαιος, — no bungler.

ΓΡ. Ἀναγκάσαι δίκαιόν ἐστι, νὴ Δία,
Τὸν εὖ παθόνθ' ὑπ' ἐμοῦ, πάλιν μ' ἀντευποιεῖν.
Ἢ μηδ' ὁτιῶν δίκαιον ἀγαθὸν ἐς' ἔχειν.
* * * * * *
Ἀλλ' ἐδέποτέ με ζῶσαν ἀπολείψειν ἔφη.
ΧΡ. Ὀρθῶς γε. νῦν δέ γ' ἐκ ἔτι ζῆν σ' οἴεται.
ΓΡ. Ὑπὸ τῦ γὰρ ἄλγους κα[ατέτηκ', ὦ φίλ[ατε.
ΧΡ. Οὐκ. ἀλλὰ κα[ασέσηπας, ὡς γέ μοι δοκεῖς.
ΓΡ. Διὰ δακ[υλίου μὲν ἓν ἐμέ γ' ἂν διελκύσαις.
ΧΡ. Εἰ τυχχάνει γ' ὁ δακτύλιος ὢν τηλία.
ΓΡ. Καὶ μὴν τὸ μειράκιον τοδὶ προσέρχε[αι,
Οὗπερ πάλαι κα[ηγορῆσα τυγχάνω.
Ἔοικε δ' ἐπὶ Κῶμον βαδίζειν. ΧΡ. Φάινε[αι.
Στέφανόν γέ τοι κ᾽ δᾷδ' ἔχων πορεύε[αι.

ΔΡΑΜΑΤΟΣ ΤΕΤΑΡΤΟΥ ΣΚΗΝΗ ΠΕΜΠΤΗ.

ΝΕΑΝΙΑΣ, ΓΡΑΥΣ, ΧΡΕΜΥΛΟΣ.

Ἀ Σπάζομαι. ΓΡ. Τί φησιν; ΝΕ. Ἀρχαία φίλη,
Πολιὰ γεγένησαι ταχύ γε, νὴ τὸν ὐρανόν.
ΓΡ. Τάλαιν' ἐγὼ, τῆς ὕβρεος ἧς ὑβρίζομαι.

ΣΧΟΛΙΑ.

1010. Ἢ μηδ' ὁτιῶν δίκαιον.] Ἢ δίκαιόν ἐστι μηδ' ὁτιῶν ἀγαθὸν ἔχειν τὸν νεανίσκον.

1016. Ὧν τηλία.] Κοσκίνου κύκλος, ἢ σανὶς πλατεῖα, ἐφ' ἧς ἄλφιτα ποιῶσιν.

1017. Καὶ μὲν τὸ μειράκιον.] Πρόεισιν ὁ παῖς στεφάνους κομίζων τῷ Πλούτῳ διὰ τὸ πεπλε[ηκέναι.

1021. Ἀσπάζομαι.] Ἐχρῆν κἀνταῦθα θεῖναι χορὸν, εἰσιόντων ἐντὸς τῶν ὑποκριτῶν, ἄχρις ἄν τις ἕτερος ἐπέλθοι ὑποκριτής.

ΧΡ.

ΧΡ. Ἔοικε διὰ πολλῆ χρόνῃ σ' ἑωρακέναι.

ΓΡ. Ποίῃ χρόνῃ, ταλαναθ', ὃς παρ' ἐμοὶ χθὲς ἦν.

ΧΡ. Τἠναυ]ίον πέπονθε τοῖς πολλοῖς ἄρα.
Μεθύων γὰρ, ὡς ἔοικεν, ὀξύτερον βλέπει.

ΓΡ. Οὐκ. ἀλλ' ἀκόλασός ἐ]ιν αἰεὶ τὴς τρόπῃς.

ΝΕ. Ὦ Πον]οπόσειδον κ) θεοὶ πρεσβυ]ικοὶ,
Ἐν τῷ προσώπῳ τῶν ῥυτίδων ὅσας ἔχει; ΓΡ. Ἄ, ἄ.
Τὴν δᾷδα μή μοι πρόσφερ'. ΧΡ. Εὖ μέν τοι λέγει.
Ἐὰν γὰρ αὐτὴν εἰς μόν@ σπινθὴρ λάβῃ,
Ὥσπερ παλαιὰν εἰρεσιώνην καύσε]αι.

ΝΕ. Βέλει διὰ χρόνῃ πρός με παῖσαι. ΓΡ. Ποῖ, τάλαν;

ΝΕ. Αὐτῆ λαβῆσα κάρυα. ΓΡ. Παιδιὰν τίνα;

ΝΕ. Πόσης ἔχεις ὀδόν]ας. ΧΡ. Ἀλλὰ γνώσομαι

ΣΧΟΛΙΑ.

1029. Ὦ ποντοπόσειδον.] Ὦ πόντιε Πόσειδον. θεοὶ δὲ πρεσβυ]ικοὶ, οἱ τοῖς πρεσβύταις ἐφισάμενοι θεοί. ἐπειδὴ κ) ὁ Ποσειδῶν τῶν πρεσβυτέρων θεῶν κ) ἐχ ὅμοιός ἐσι Διονύσῳ ἢ Ἀπόλλωνι. τὸ δὲ Πον]οπόσειδον ἀπὸ τῆ πόν]ε. ὦ μέγισε Πόσειδον.

1033. Ὥσπερ παλαιὰν εἰρεσιώνην.] Λιμῆ ἐνσκήψαντος, ἀνεῖλεν ὁ θεὸς τὰς εἰρεσιώνας πρὸ τῶν θυρῶν κρεμάσαι. εἰρεσιώνη δὲ θαλλὸς ἐλαίας ἢ δάφνης ἐξ ἐρίων κ) θαλλῆ συμπεπλεγμένος, ἔχων ἄρτον ἐξηρτημένον κ) κοτύλην (ἔσι δὲ μέτρον ὃ νῦν καλῶμεν ἡμίξεσον) κ) σῦκα κ) πάντα τὰ ἀγαθά. ταύτην δὲ τὴν εἰρεσιώνην πρὸ τῶν οἰκημάτων ἐτίθεντο οἱ Ἀθηναῖοι. κ) κατ' ἔτος ἤλλατ]ον.

1036. Πόσης ἔχεις ὀδόν]ας.] Δέον εἰπεῖν κάρυα· εἶπεν ὀδόν]ας ὡς πρὸς γραῦν τοῦτο παρ' ὑπόνοιαν εἶπε χωμῳδῶν αὐτὴν ὡς πάνυ γραῖαν. ἔθει γὰρ εἰπεῖν, πόσα ἐν χερσὶν ἔχω, ὥσπερ εἰώθασι λέγειν οἱ τὰ ἄρτια κ) περισσὰ παίζοντες. ἄλλως. πόσης ὀδόντας εἶπεν ἀντὶ τῆ πόσα ἔχεις κάρυα. παιδιὰ γάρ ἐσι τοιαύτη. θραξάμενός τις καρύων κ) ἐκ]είνας τὴν χεῖρα ἐρωτᾷ πόσα. κ) ἐὰν ἐπιτύχῃ, λαμβάνει ὅσα ἔχει ἐν τῇ χειρί. ἐὰν δὲ ἁμάρτῃ καλὰ τὴν ἀπόκρισιν, ἀπο]ίνει ὅσα ἂν ἐρωτήσας εὑρεθεὶη ἔχων.

Κἄγω'.

1024. σ' ἔαυρα - to be pronounced as 2 Syllables.

1025. ταλαντάθ' - is the right word. -

ποιȣ χρονȣ - - what is this long Time of yrs. -

1041. ἐκπλυνεῖε – The ἐκ implies doing it thoroughly.–

1041. καπηλικως, a metaphor from adulterated wines.

Mercury had knocked at the door – and then absconded.–

1049 – ἄλλως – sponte suâ patrem fores.

Κἄγωγ'. ἔχει γὰρ τρεῖς ἴσως ἢ τέτταρας.
ΝΕ. Ἀπότισον. ἕνα γὰρ γόμφιον μόνον φορεῖ.
ΓΡ. Ταλάντατ' ἀνδρῶν, οὐχ ὑγιαίνειν μοι δοκεῖς,
Πλυνόν με ποιῶν ἐν τοσούτοις ἀνδράσιν.
ΝΕ. Ὄναιο μέν γ', ἂν εἴτις ἐκπλύνειέ σε.
ΧΡ. Οὐ δῆτ', ἐπεὶ μὲν νῦν καπηλικῶς ἔχει.
Εἰ δ' ἐκπλυνεῖται τοῦτο τὸ ψιμύθιον,
Ὄψει κατάδηλα τῷ προσώπῳ γε τὰ ῥάκη.
ΓΡ. Γέρων ἀνὴρ ὢν, οὐχ ὑγιαίνειν μοι δοκεῖς.

* * * * * * * * * * * * * * * *

ΔΡΑΜΑΤΟΣ ΠΕΜΠΤΟΥ.

ΣΚΗΝΗ ΠΡΩΤΗ.

ΚΑΡΙΩΝ, ΕΡΜΗΣ.

ΤΙΣ ἔσθ' ὁ κόπτων τὴν θύραν; τουτὶ τί ἦν;
Οὐδεὶς ἔοικεν. ἀλλὰ δῆτα τὸ θύριον
Φθεγγόμενον ἄλλως κλαυσιᾷ. ΕΡ. Σέ τοι, σέ τοι
Λέγω, Καρίων, ἀνάμεινον. ΚΑ. Οὗτος, εἰπέ μοι,
Σὺ τῆς θύραν ἔκοπτες ὕτωσὶ σφόδρα;
ΕΡ. Μὰ Δί' ἀλλ' ἔμελλον. εἶτ' ἀνέῳξάς με φθάσας.
Ἀλλ' ἐκκάλει τὸν δεσπότην τρέχων ταχύ,
Ἔπειτα τὴν γυναῖκα καὶ τὰ παιδία.

ΣΧΟΛΙΑ.

1040. Πλυνέν με ποιῶν.] Ἐφύδριον πλῦμα. πλυνὸς δὲ ὀξυτόνως τὸ ἀγγεῖον αὐτό. παροξυτόνως δὲ τὸ πλυνόμενον.

1046. Τουτὶ τί ἦν.] Ὁ Ἑρμῆς ἔκοψε. καὶ ἐξελθὼν ὁ Καρίων οὐδένα εὗρε.

Ἔπειτα

Ἔπειτα τὰς θεράπονλας, εἶτα τὴν κύνα,
Ἔπειτα σαυτόν, εἶτα τὴν ὗν. ΚΑ. Εἰπέ μοι,
Τί δ' ἐστίν; ΕΡ. Ὁ Ζεὺς, ὦ πόνηρε, βέλεται
Ἐς ταυτὸν ὑμᾶς συγκυκήσας τρύβλιον,
Ἀπαξάπανλας εἰς τὸ βάραθρον ἐμβαλεῖν.
ΚΑ. Ἡ γλῶττα τῷ κήρυκι τῶτων τέμνεται.
Ἀτὰρ διαλί γε ταῦτ' ἐπιββλεύει ποιεῖν
Ἡμᾶς; ΕΡ. Ὅλη δεινόταλα πάνλων πραγμάτων
Εἴργαδ'. ἀφ' ἧ γὰρ ἤρξατ' ἐξαρχῆς βλέπειν
Ὁ Πλοῦτος, ὐδεὶς ὐ λιβανωλόν, ὐ δάφνην,
Οὐ ψαιςόν, ὐχ ἱερεῖον, ὐκ ἀλλ' ὐδεὲν,
Ἡμῖν ἐπιθύει τοῖς θεοῖς. ΚΑ. Μὰ Δί'. ὐδέ γε
Θύσει. κακῶς γὰρ ἐπεμελεῖθ' ἡμῶν τότε.
ΕΡ. Καὶ τῶν μὲν ἄλλων μοι θεῶν ἧττον μέλει.
Ἐγὼ δ' ἀπόλωλα κἀπιτέτριμμαι. ΚΑ. Σωφρονεῖς.
ΕΡ. Πρότερον γὰρ εἶχον μὲν παρὰ ταῖς καπηλίσιν
Πάντ' ἀγαθ' ἔωθεν εὐθύς, οἰνῶτλαν, μέλι,
Ἰσχάδας, ὅσ' εἰκός ἐςιν Ἑρμῆν ἐθίειν.
Νυνὶ δὲ πεινῶν, ἀναβάδην ἀναπάυομαι.
ΚΑ. Οὐκοῦν δικαίως, ὅς τις ἐποίεις ζημίαν

ΣΧΟΛΙΑ.

1059. Ἡ γλῶττα τῷ κήρυκι.] Καλλίσρατος τῶν θυομένων φησὶ τὰς γλώσσας τοῖς κήρυξιν ἀπονέμεσθαι· διὸ καὶ τὸν ποιητὴν ποιεῖν τῷ Ἑρμῇ τεμνομένας αὐτάς. καὶ τῶτο δὲ πρὸς τὸν Ἑρμῆν λέγει ἥκοντα παρὰ Διός. κολακεύων δὲ αὐτὸν φησιν, ὅτι τῶν ἱερείων ἡ γλῶττα τῷ Ἑρμῇ δίδοται ἐν ταῖς δημοτελέσι θυσίαις.

1070. Οἰνῶτλαν.] Οὕτω τὴν οἶνῳ πεφυραμένην μάζαν. τινὲς δὲ οἰνῶτλαν, εἶδος πλακοῦντος μετ' οἴνου καὶ μέλιτος γινόμενον.

1072. Ἀναβάδην.] Ἀντὶ τοῦ κάθημαι πεινῶν, ἄνω, φησὶν, ἔχω τὰς πόδας κοιμώμενος. οἱ γὰρ διάκονοι τὰς πόδας ἄνω εἶχον πρὸς τὸ μὴ βαρεῖσθαι ὑπὸ τῆς δρόμης.

Ἐνίοτε,

1072 - ἀναβαδην - with my legs up.

1098. — Georg. 2. v. 380 — de ασκωλιαζειν
unctos saluere per utres.

Ἐνίοτε, τοιαῦτ' ἀγάθ' ἔχων. ΕΡ. Οἴ μοι τάλας,
Οἴ μοι πλακῶντος τὸν τέτραδι πεπεμμένου. 1075
ΚΑ. Ποθεῖς τὸν ὑπαρόντα καὶ μάτην καλεῖς.
ΕΡ. Οἴμοι δὲ κωλῆς, ἣν ἐγὼ κατήθιον,
ΚΑ. Ἀσκωλίαζ' ἐνταῦθα πρὸς τὴν αἰθρίαν.
ΕΡ. Σπλάγχνων τε θερμῶν, ὧν ἐγὼ κατήθιον.
ΚΑ. Ὀδύνη σε πρὸς τὰ σπλάγχν' ἔοικ' ἐπιστρέ-
φειν. 1080
ΕΡ. Οἴμοι δὲ κύλικος, ἴσον ἴσῳ κεκραμένης.
ΚΑ. Ταύτην ἐπιπιὼν, ἀποτρέχων ἂν ἂν φθάνοις.
ΕΡ. Ἆρ' ὠφελήσαις ἄν τι τὸν σαυτοῦ φίλον;

ΣΧΟΛΙΑ.

1075. Τὸν τετράδι πεπεμμένον.] Ἡ τετρὰς ἐνομίζετο Ἑρμοῦ, καθ' ἕκαστον μῆνα ταύτῃ τῇ ἡμέρᾳ ἀπειθέντος τῷ Ἑρμῇ. ἔξω γὰρ τῶν ἑορτῶν, ἱεραί τινες τοῦ μηνὸς ἡμέραι νομίζονται Ἀθήναις, θεοῖς τισίν. οἷον, νουμηνία καὶ ἑβδόμη, Ἀπόλλωνι· τετρὰς, Ἑρμῇ· καὶ ὀγδόη Θησεῖ.

1076. Ποθεῖς τὸν ὑπαρόντα καὶ μάτην καλεῖς.] Ἡρακλῆς πλέων μετὰ τῆς Ἀργοῦς εἰς Κόλχους σὺν Ἰάσονι ἐν Κίῳ τῇ νήσῳ ἐξελθὼν καὶ πέμψας τὸν ἐρώμενον αὐτοῦ Ὕλλαν ὕδωρ ἀντλῆσαι, περιέμενεν αὐτόν. τοῦ δὲ ὑπὸ νυμφῶν ἁρπασθέντος, Ἡρακλῆς πολὺν χρόνον ἐζήτει. ὕστερον δὲ ὑπό τινος αἰθρίας φωνῆς ἤκουσε, ποθεῖς τὸν ὑπάροντα καὶ μάτην καλεῖς. ἐλείφθη ἓν τοῦτο εἰς παροιμίαν ἐπὶ τῶν μάτην προσδοκώντων.

1078. Ἀσκωλίαζ' ἐνταῦθα.] Ἑορτὴν οἱ Ἀθηναῖοι ἦγον τὰ ἀσκώλια, ἐν ᾗ ἤλλοντο ἐπ' ἀσκοῖς αἰγείοις, εἰς τιμὴν τοῦ Διονύσου. δοκεῖ δὲ ἐχθρὸν εἶναι ἀμπέλῳ τὸ ζῶον. ἀμέλει καὶ ἐπίγραμμα φέρεται τῆς ἀμπέλου πρὸς τὴν αἶγα, ὅτω λέγον. Κῆν με φάγῃς ἐπὶ ῥίζαν ὅμως δέ τι καρποφορήσω, ὅσσον ἐπισπεῖσαί σοι, τράγε, θυομένῳ. ἀσκωλίαζε δὲ ἀντὶ τοῦ ἄλλου. κυρίως δὲ ἀσκωλιάζειν ἔλεγον, τὸ ἐπὶ τῶν ἀσκῶν ἄλλεσθαι, ἕνεκα τοῦ γέλωτα ποιεῖν. ἐν μέσῳ δὲ τοῦ θεάτρου ἐτίθεντο ἀσκοὺς πεφυσημένους, καὶ ἀλληλιμμένους, εἰς οὓς ἐναλλόμενοι, ἐνωλίθαινον.

1082. Ταύτην ἐπιπιὼν, ἀποτρέχων ἂν ἂν φθάνοις.] Οὐκ ἂν πέρας σχοίης τῶν κακῶν. ἂν ἂν ἀναβάλοιο.

1083. Τὸν σαυτοῦ φίλον.] Τοῦτο λέγει, ἢ διότι καὶ αὐτὸς διάνοιαν καὶ ὑπηρέτης ἦν τῶν θεῶν ὥσπερ ἕτερος Χρεμύλος. ἢ διὰ τὰς βοηθείας, ἃς προϊὼν ἐρεῖ. εἰώθαμεν γὰρ οἱ ἄνθρωποι ὅταν εἰς ἀνάγκην ἐμπέσωμεν, εὔνοιαν πρὸς τοῦτον πλάττεσθαι, ἀφ' οὗ ἂν ὑμῖν ᾖ αἱ ὠφέλειαι.

ΚΑ. Εἴ τȣ δέει γ' ὧν δυνατὸς εἰμί σ' ὠφελειν.
ΕΡ. Εἴ μοι πορίσας ἄρτον τίν' εὖ πεπεμμένον,
Δοίης καταφαγεῖν, καὶ κρέας νεανικὸν,
Ὧν θύεθ' ὑμεῖς ἔνδον. ΚΑ. Ἀλλ' ȣ̓κ ἔκφορα.
ΕΡ. Καὶ μὴν, ὁπότε τι σκευάριον τȣ̃ δεσπότȣ
Ὑφείλȣ, ἐγώ σε λανθάνειν ἐποίȣν ἀεί.
ΚΑ. Ἐφ' ᾧτε μετέχειν αὐτὸς ὦ, τοιχωρύχε.
Ἧκεν γὰρ ἄν σοι ναςὸς εὖ πεπεμμένος.
ΕΡ. Ἔπειτα τȣ̃τόν γ' αὐτὸς ἂν κατήσθιες.
ΚΑ. Οὐ γὰρ μετεῖχες τὰς ἴσας πληγὰς ἐμοὶ,
Ὁπότε τι ληφθείην πανȣργήσας ἐγώ.
ΕΡ. Μὴ μνησικακήσῃς, εἰ σὺ Φυλὴν κατέλαβες.
Ἀλλ' ȣ̃ν σύνοικον πρὸς θεῶν δέξασθέ με.
ΚΑ. Ἔπειτ' ἀπολιπὼν τȣ̀ς θεȣ̀ς ἐνθάδε μενεῖς;
ΕΡ. Τὰ γὰρ παρ' ὑμῖν ἐςὶ βελτίω πολύ.
ΚΑ. Τί δέ γ' αὐτομολεῖν ἀςεῖον εἶναί σοι δοκεῖ;
ΕΡ. Πατρὶς γάρ ἐςι πᾶσ', ἵν' ἂν πράττῃ τις εὖ.
ΚΑ. Τὶ δῆτ' ἂν εἴης ὄφελος ἡμῖν ἐνθάδ' ὤν;
ΕΡ. Παρὰ τὴν θύραν ςροφαῖον ἱδρύσασθέ με.

ΣΧΟΛΙΑ.

1087. Ἀλλ' ȣ̓κ ἔκφορα.] Ὡς ἐνίαις θυσίαις λεγομένȣ τȣ́τȣ. καὶ χρῶνται αὐτῷ ȣ̓ κατ' ȣ̓δέτερον πληθυντικὸν, ἀλλ' ἑνικῶς κατὰ θηλυκόν. ὡς Θεόπομπος, εἴσω δραμὼν αἴτησον, ἀλλ' ȣ̓κ ἐκφορά. καὶ εἰ μὲν ȣ̓δέτερον εἴη πληθυντικὸν, προπαροξύνȣσιν. εἰ δὲ θηλυκὸν, ὀξύνȣσιν.

1095. Εἰ σὺ Φυλὴν κατέλαβες.] Ὅτι μετὰ τὸ κατελθεῖν τȣ̀ς μετὰ Θρασυβȣ́λȣ, Φυλὴν καταλαβόντας καὶ νικήσαντας ἐν Πειραιεῖ τȣ̀ς τριάκοντα, ψηφίσασθαι ἔδοξε, μὴ μνησικακῆσαι ἀλλήλοις καθάπαξ τȣ̀ς πολίτας.

ΚΑ.

1086. νεανικος is any thing firm & substantial.

1088. - υφειλες, εγω.

1112
μαθητικὸς – Employment for the Mind.
γυμνικὸς – for the Body.
1114. βιωτικὸν – a healthy Kind of Life.

ΚΑ. Στροφαῖον; ἀλλ' ἓκ ἔργόν ἐς' ὑδὲν στροφῶν.
ΕΡ. Ἀλλ' ἐμπολαῖον. ΚΑ. Ἀλλὰ πλυτῶμεν. τί ἔν
Ἑρμῆν παλιγκάπηλον ἡμᾶς δεῖ τρέφειν;
ΕΡ. Ἀλλὰ δόλιον τοίνυν. ΚΑ. Δόλιον; ἧκιστά γε.
Οὐ γὰρ δόλυ νῦν ἔργον, ἀλλ' ἁπλῶν τρόπων.
ΕΡ. Ἀλλ' ἡγεμόνιον. ΚΑ. Ἀλλ' ὁ θεὸς ἤδη βλέπει.
Ὥστ' ἡγεμόνος ὐδὲν δεησόμεθ' ἔτι.
ΕΡ. Ἐναγώνιος τοίνυν γ' ἔσομαι, κἀ τί ἔτ' ἐρεῖς;
Πλύτῳ γάρ ἐστι τοῦτο συμφορώτατον,
Ποιεῖν ἀγῶνας μυστικοὺς καὶ γυμνικούς.
ΚΑ. Ὡς ἀγαθόν ἐς' ἐπωνυμίας πολλὰς ἔχειν;
Οὕτως γὰρ ἐξεύρηκεν αὐτῷ βιότιον.
Οὐκ ἐτὸς ἅπαντες οἱ δικάζοντες, θαμὰ
Σπεύδουσιν ἐν πολλοῖς γεγράφθαι γράμμασιν.

ΣΧΟΛΙΑ.

1103. Στροφαῖον.] Ἐπὶ ἀπόρου τῶν ἄλλων κλεπτῶν. στροφαῖος, παρὰ τὸ στρέφεσθαι καὶ πανουργεῖν. λέγεται δὲ ὁ Ἑρμῆς, στροφαῖος, ἐμπολαῖος, κερδῶος, δόλιος, ἡγεμόνιος, ἐναγώνιος, διάκονος. ἄλλως. στροφαῖον, ἐπεὶ στροφαὶ λέγονται καὶ οἱ συμπεπλεγμένοι καὶ δολεροὶ λόγοι. στροφαῖον δὲ ἐκάλουν, ἱδρυμένον παρὰ τῇ θύρᾳ τὸν δαίμονα.

1104. Ἀλλ' ἐμπολαῖον.] Πραγματευτὴν ἢ ἀγοραῖον.

1108. Ἀλλ' ἡγεμόνιον.] Καὶ λὰ χρησμὸν οἱ Ἀθηναῖοι ἡγεμόνιον Ἑρμῆν ἱδρύσαντο, παρὰ τὸ τοὺς τυφλοὺς τοὺς βλέποντας ἡγεῖσθαι. ἐπίνευχε δὲ ἐπὶ τοῦ Πλούτου, φάσκων αὐτὸν ἤδη βλέπειν, καὶ μὴ δεῖσθαι ὁδηγοῦ.

1115. Οὐκ ἐτὸς ἅπαντες.] Ὡς ἂν εἰ ἔλεγεν ὡς ματαίως ἄρα σπεύδουσι πολλοὶ ὀνόματα ἔχειν· ἵνα ἐὰν ἀποτύχωσιν ἑνὸς, εἰς ἄλλο δικαστήριον δικάσωσιν. ὁ δὲ τούτων νοῦς, ἐκ τῶν προειρημένων ἐστὶ περὶ κληρώσεως τῶν γραμμάτων καὶ τῶν δικαστηρίων.

ΕΡ. Οὐκοῦν ἐπὶ τούτοις εἰσίω; ΚΑ. Καὶ πλουνέ γε,
Αὐτὸς προσελθὼν πρὸς τὸ φρέαρ, τὰς κοιλίας,
Ἵν' εὐθέως διακονικὸς εἶναί δοκῇς.

ΔΡΑΜΑΤΟΣ ΠΕΜΠΤΟΥ
ΣΚΗΝΗ ΔΕΥΤΕΡΑ.

ΙΕΡΕΥΣ τοῦ ΔΙΟΣ, ΚΑΡΙΩΝ.

ΤΙΣ ἂν φράσειε τοῦτ' ἐμοὶ Χρεμύλῳ σαφῶς; 1120
ΚΑ. Τί δ' ἐστὶν ὦ βέλτιστε; ΙΕ. Τί γὰρ ἄλλ' ἢ κακῶς;
Ἀφ' οὗ γὰρ ὁ Πλοῦτος οὗτος ἤρξατο βλέπειν,
Ἀπόλωλ' ὑπὸ λιμοῦ. καταφαγεῖν γὰρ οὐκ ἔχω.
Καὶ ταῦτα τοῦ σωτῆρος ἱερεὺς ὢν Διός.
ΚΑ. Ἡ δ' αἰτία τίς ἐστιν, ὦ πρὸς τῶν θεῶν; 1125
ΙΕ. Θυεῖν ἔτ' οὐδεὶς ἀξιοῖ. ΚΑ. Τίνος ἕνεκα;
ΙΕ. Ὅτι πάνυ εἰσὶ πλούσιοι. καίτοι τότε,
Ὅτ' εἶχον οὐδέν, ὁ μὲν ἂν ἦκων ἔμπορος,
Ἔθυσεν ἱερεῖόν τι σωθεὶς. ὁ δέ τις ἂν
Δίκην ἀποφυγών. ὅδ' ἂν ἐκαλλιερεῖτό τις, 1130
Καὶ μεκάλει τὸν ἱερέα. νῦν δ' οὐδὲ εἷς
Θύει τοσαράπαν οὐδέν, οὐδ' εἰσέρχεται,
Πλὴν ἀποπαυσόμενοί γε πλεῖν ἢ μύριοι.
ΚΑ. Οὐκοῦν τὰ νομιζόμενα σὺ τούτων λαμβάνεις;
ΙΕ. Τὸν ἐν Δίᾳ τὸν σωτῆρα καὶ τός μοι δοκῶ 1135

ΣΧΟΛΙΑ.

1124. Τοῦ σωτῆρος.] Ἐν ἄστει σωτῆρα Δία τιμῶσιν, ἔνθα καὶ σωτὴρ Διὸς ἐστὶν ἱερόν. τὸν αὐτὸν δὲ ἔνιοι καὶ ἐλευθέριόν φασι.
1134. Οὐκοῦν τὰ νομιζόμενα.] Ἐπειδὴ νόμος ἦν τὰ ὑπολειπόμενα τῶν ἱερείων τὸν ἱερέα λαμβάνειν.

Χαίρειν

Χαίρειν ἐάσας, ἐνθάδ' αὐτῷ καθαμενεῖν.
ΚΑ. Θάρρει. καλῶς ἔσαι γάρ, ἢν θεὸς θέλῃ.
Ὁ Ζεὺς ὁ σωτὴρ γὰρ πάρεσιν ἐνθάδε,
Αὐτόμαθ' ἥκων. ΙΕ. Πάντ' ἀγαθὰ τοίνυν λέγεις.
ΚΑ. Ἱδρυσόμεθ' ἦν αὐτίκ'. ἀλλὰ περίμενε,
Τὸν Πλοῦτον, ὅπερ πρότερον ἦν ἱδρυμένον,
Τὸν ὀπισθόδομον ἀεὶ φυλάττων τῆς θεοῦ.
Ἀλλ' ἐκδότω τις δεῦρο δᾷδας ἡμμένας,
Ἵν' ἔχων προπαγῇ τῷ θεῷ σύ. ΙΕ. Πάνυ μὲν οὖν
Δρᾶν ταῦτα χρή. ΚΑ. Τὸν Πλοῦτον ἔξω τις κάλει.

ΔΡΑΜΑΤΟΣ ΠΕΜΠΤΟΥ.

ΣΚΗΝΗ ΤΡΙΤΗ.

ΓΡΑΥΣ, ΚΑΡΙΩΝ, ΧΟΡΟΣ.

ΓΡ. ΕΓΩ δὲ τί ποιῶ; ΚΑ. Τὰς χύτρας αἷς τὸν θεὸν
Ἱδρυσόμεθα, λαβοῦσ' ἐπὶ τῆς κεφαλῆς φέρε
Σεμνῶς. ἔχουσα δ' ἦλθες αὐτὴ ποικίλα.

ΣΧΟΛΙΑ.

1142. Τὸν ὀπισθόδομον ἀεὶ φυλάττων.] Ὀπίσω τοῦ νεὼ διπλοῦς τοῖχος τῆς καλουμένης πολιάδος Ἀθηνᾶς, ἔχων θύραν, ὅπου ἦν θησαυροφυλάκιον ἐπειδὴ τὰ χρήματα ἐν τῷ ὀπισθοδόμῳ ἀπέκειτο. μέσον δέ ἐστι τῆς ἀκροπόλεως, ἔνθα ἦν ταμιεῖον, ὅπισθεν τοῦ τῆς Ἀθηνᾶς ναοῦ. τοῦτο δὲ εἶπεν, ὡς μέλλοντος προϊέναι τοῦ Πλούτου.

1146. Τὰς χύτρας αἷς τὸν θεόν.] Ἔθος γὰρ ἦν, ἐν ταῖς ἱδρύσεσι τῶν ἀγαλμάτων ὀσπρίων ἑψημένων χύτρας περιπομπεύεσθαι ὑπὸ γυναικῶν ποικίλως ἠμφιεσμένων, καὶ τούτων ἀπήρχοντο χαρισήρια τοῖς θεοῖς ἀπονέμοντες.

1148. Αὐτὴ ποικίλα.] Λείπει τὸ ἱμάτια. ἵν' ᾖ ποικίλα ἱμάτια ἔχουσα σεμνῶς ἦλθες. πορφυροῖς γὰρ καὶ ποικίλοις ἱματίοις ἐπόμπευον. δεῖ δὲ ὑπονοεῖν, ὅτι ἡ γραῦς ἐβιάσατο καὶ συνεισῆλθε τῷ νεανίσκῳ. καὶ ὅτι ἡ γραῦς ποικίλα ἦλθεν ἔχουσα ἱμάτια.

ΓΡ.

ΓΡ. Ὧν δ' ἕνεκ' ἦλθον; ΚΑ. Πάνλα σοι πεπραξέναι.
Ἥξει γὰρ ὁ νεανίσκος ὡς σ' εἰς ἑσπέραν.
ΓΡ. Ἀλλ' εἴγε μέν τοι, νὴ Δί', ἐγγυᾷ σύ μοι
Ἥξειν ἐκεῖνον ὡς ἔμ', οἴσω τὰς χύτρας.
ΚΑ. Καὶ μὴν πολὺ τῶν ἄλλων χυτρῶν τἀναντία
Αὗται ποιοῦσι. ταῖς μὲν ἄλλαις γὰρ χύτραις,
Ἡ γραῦς ἔπες' ἀνώλατο. ταύτης δὲ νῦν
Τῆς γραὸς, ἐπιπολῆς ἔνεισιν αἱ χύτραι.
ΧΟ. Οὐκ ἔτι τοίνυν γ' εἰκὸς μέλλειν ὐδ' ἡμᾶς, ἀλλ' ἀναχωρεῖν
Εἰς τἔπιθεν. δεῖ γὰρ κατόπιν τούτων ᾄδοντας ἕπεσθαι.

ΣΧΟΛΙΑ.

1155. Ἡ γραῦς ἔπες' ἀνωτάτω.] Ἐν τῷ ὑπερζεῖν τὰ μαγειρευόμενα ὄσπρια. γραῦς γὰρ καλεῖται ὁ ἀφρὸς ὁ ἀνωτάτω.

ΠΛΟΥΤΟΥ Τέλος.

ARISTO-

1156. Here is a pun upon the word Γραυς — which signifies the Scum of a Pot, as well as old Woman.

ARISTOPHANIS

PLUTUS.

Actus Primus, Scena Prima.

CARIO, CHREMYLUS.

QUAM grave eſt, (O Jupiter atque Dii!)
Servire deſipienti Domino?
Nam ſi fortè famulus optima dixerit,
Eadem autem agere, hero non viſum fuerit,
Mala cum illo participare famulum neceſſe eſt.
Corporis enim proprii non permittit domino
Imperium habere ſors, ſed ei qui eum mercatus eſt.
Atque hæc ſe ita habent. de Apolline autem,
Qui ex aureo Tripode vaticinatur,
Juſtam hanc querelam profero, nempe quod,
Medicus cum ſit & vates (ut aiunt) peritus,
Delirantem tamen dimiſit à ſe Herum meum:
Quippe qui ſequatur à tergo hominem cæcum,
(Secus omnino faciens quam facere eum convenit.
Nam qui videmus cæcis ſolemus præire,
Ille autem ſequitur, nec non me etiam ſecum adigit)
Præſertim reſpondentem nihil omnino, ne gry quidem.
Ego igitur profectò ſilere non potero.
Niſi mihi dixeris, quamobrem hunc ſequimur,
Here: at tibi moleſtiam exhibebo.
Non enim me verberabis cùm ſertum geram.

Chr. Non per Jovem, ſed detracto ſerto, ſiquid mihi moleſtus ſis,
Quo magis doleas. *Car.* Nugæ! non enim deſinam
Priuſquam mihi dixeris quiſnam hic ſiet.

Bono enim omnino in te animo hoc rogo.
Chr. At non te celabo. è ſervis enim meis
Ut fideliſſimum te ita nebulonem quàm tectum credo.
Ego qui frequens Deorum cultor & juſtus fuerim,
Afflictam egi vitam & pauper fui. *Car.* Novi.
Chr. Alii autem diteſcebant, ſacrilegi, rabulæ,
Etiam ſycophantæ, & homines nequam. *Car.* Credo.
Chr. Sciſcitaturus itaque adivi Deum.
Meam ipſius quidem miſeri prope
Jam exhauſtam putans vitam;
De filio autem (qui mihi unicus eſt)
Percontaturus, an, mutatis moribus, oporteat
Vafrum ipſum fieri, injuſtum, nec quicquam integri,
Utpote qui putem hoc ad vitam apprime utile.
Car. Quid ergo Phœbus è laureis ſertis ſonuit?
Chr. Audies; diſertè enim mihi hoc dixit Deus.
Cuicunque primùm occurrerem, foribus egreſſus,
Hunc juſſit ut non dimitterem,
Sed perſuaderem ut me comitaretur domum.
Car. Et huic ergo ſcilicet primum occurriſti? *Chr.* Ipſi huic.
Car. An non ergo intellexti mentem Dei,
Quæ tibi (O tu perquam læve!) apertiſſimè dixit,
Ut filium indigenarum more inſtitueres?
Chr. Unde iſtud conjicis? *Car.* Hocſc. vel cœcus
Videre poteſt, quàm conducat maxime
Nihil integri colere, ut nunc ſunt hominum mores.
Chr. Fieri non poteſt ut in hoc propendeat oraculum,
Sed in aliud quiddam majus. Quod ſi nobis dixerit,
Hic, quiſnam demum ſit, & qua de cauſa,
Cujuſve rei indigens huc nobiſcum venerit,
Tum forte, oraculum illud noſtrum quid ſibi vult, comperiemus.
Car. Age ergo, tu primum eloquere, qui ſis,
Aut quæ ſequuntur, dum faciam. expecta. *Chr.* Dicto opus eſt ſine mora.

ACTUS

ACTUS PRIMI

SCENA SECUNDA.

PLUTUS, CARIO, CHREMYLUS.

EGO quidem te jubeo male perire. *Car.* Intelligis,
Quem ſe dicit eſſe? *Chr.* Tibi hoc dicit, non mihi.
Invenuſtè enim & acerbè eum interrogas.
At ſi quid hominis probi moribus delectaris,
Mihi dicito. *Plut.* Abire te hinc in malam crucem dico.
Car. Habe tibi virum atque augurium dei.
Chr. Neutiquam per Cererem gaudebis
Niſi enim mihi dixeris, miſere te malum perdam,
Plut. Abſcedite à me obſecro, amici. *Chr.* Minime gentium.
Car. Profectò, quod ego dico factu optimum eſt, here,
Peſſimè hunc hominem deperdam.
In præcipitium enim quoddam ubi eum ſuſtulero, & deinde reliquero,
Abibo ut exinde collum frangat decidendo.
Chr. Aut ocyus rape. *Plu.* Nequaquam. *Car.* Num dices igitur?
Plu. Atqui ſi reſciveritis qui ſim, ſat novi,
Me aliquo malo afficietis, neque miſſum facietis.
Chr. Nos profectò per deos —— ſi tu velis.
Plu. Omittite me jam igitur primum. *Chr.* En omittimus.
Plu. Audite ergo, neceſſe eſt enim mihi (ut videtur)
Dicere quæ celare ſtatueram.
Ego enim Plutus ſum. *Chr.* O impuriſſime
Omnium hominum, tune Plutus, & hoc taceres?
Car. Tune Plutus, cum iſto ornatu miſero?
O Phœbe Apollo! Dî ſuperi atque inferi!

Et Jupiter! quid ais num revera is es tu? *Plu.* Etiam.
Chr. Is ipſe? *Plu.* Ipſiſſimus. *Chr.* Unde ergo, obſecro,
Tam ſqualidus prodis? *Plu.* E Patroclis venio,
Qui nunquam lavit ex quo natus eſt.
Chr. Hoc vero malum unde tibi obtigit, recenſeas mihi.
Plu. Jupiter me his malis affecit mortalibus invidens,
Ego enim cùm adoleſcentulus eram minatus ſum
Me juſtos & ſapientes & honeſtos
Solos aditurum, ipſe autem occæcavit me,
Ut ne quenquam horum poſſem dignoſcere,
Ita ipſe bonis invidet.
Chr. Et tamen à bonis ſolis colitur
Et juſtis. *Plu.* Fateor equidem. *Chr.* Age, quid ſi
Viſum igitur ut antea recuperes.
Jamne malos aufugeres? *Plu.* Aio quidem.
Chr. Juſtos autem adires? *Plu.* Prorſus quidem;
Nam à longo ipſos non conſpexi tempore.
Chr. Nihil ſane mirum, neque enim ego qui video.
Plu. Dimittite me igitur, nôſtis enim quæ ex me voluiſtis,
Chr. Minime per Jovem, ſed te multo magis retinebimus.
Plu. Nonne prædixi, quod mihi negotia faceſſuri eſſetis?
Chr. Tu verò obſecro, dicto ſis audiens.
Ac ne me deſeras, non enim facile invenies,
Si quæras, virum melioribus meipſo moribus præditum;
Non profecto: non eſt enim alius præter me.
Plu. Hoc ipſum omnes dicunt, quamprimum autem me
Adepti ſunt revera, ac divites evaſerint,
Planè in nequitia omnem modum exuperant.
Chr. Ita quidem ſe res habet, non ſunt autem omnes nequam.

Plu.

Plu. Imo, per Jovem, omnes. *Car.* Pœnas ingentes dabis.
Chr. Tu vero ut ſcias quanta à nobis tibi, ſi maneas,
Obvenient bona, intende animum ut audias.
Spero enim, ſpero inquam (Deus modo dictis annuat)
Me ab hoc te liberaturum oculorum morbo,
Viſum tibi reſtituendo. *Plu.* Iſtuc nequaquam te ſolicitet.
Nolo enim viſum rurſus recuperare. *Car.* Quid ais?
Hic homo profecto egregio ingenio ad miſeriam natus eſt.
Plu. Jupiter ergo qui horum ſtultitiam novit, me, ſi hoc
Reſciverit, penitus deperdet. *Chr.* Nonne vero hoc ipſum jam agit?
Qui te ceſpitantem circumvagari ſinit?
Plu. Neſcio id. ſed certe ego illum prorſus reformido.
Chr. Siccine eſt ut dicis? O deorum omnium meticuloſiſſime!
Putaſne enim Jovis imperium
Et fulmina etiam vel teruncii facienda,
Si modo tu viſum recuperes, vel ad breve tempus.
Plu. Ah miſer! Cave iſtuc dixeris. *Chr.* Tace quæſo,
Ego enim demonſtrabo te Jove ipſo multo
Magis potentem. *Plu.* Méne Tu? *Chr.* Etiam per Cœlum.
Et ſtatim quidem. Quis eſt per quem Diis Jupiter imperat?
Car. Per argentum ſcilicet, abundè enim habet. *Chr.* Age,
Quis ergo eſt qui hoc illi ſuppeditat? *Car.* Nempe hic.
Chr. Per quem vero ipſi homines ſacrificant? nonne per hunc ipſum?
Car. Ita profectò, nam, ex adverſo, ipſum orant ut direſcant.
Chr. Nempe hic ergo in cauſa eſt, & facile
His finem ſi vellet imponere poſſet. *Plu.* Quomodo hoc fieri poteſt? *Chr.*

Chr. Quia nemo unquam hominum ſacrificaret deinceps
Bovem neque placentam neque quicquam aliud
Te nolente. *Plu.* Quomodo? *Chr.* Quomodo, dicis?
Non eſt unde quis emat, niſi tu adſis, &
Ipſe præbeas argentum, adeo ut Jovis
Poteſtatem, ſiquid moleſtus ſit, ſolus evertas.
Plu. Quid ais? per me ſacrificatur ipſi? *Chr.* Aio equidem.
Atque mehercule, ſi quid ſit ſplendidum & pulchrum,
Aut gratum hominibus, per te fit.
Omnia enim divitiis ſubjacent.
Car. Ego quidem ipſe propter paululum pecuniæ
Servus factus ſum, quia non ſat dives eram.
Chr. Artes autem omnes propter te, & inventa calida
Inter homines excogitata ſunt.
Alius enim coriariam exercet ſedens,
Ferrariam alius tractat artem, fabricatur alter,
Ille aurariam facit, cum aurum à te acceperit.
Hic veſtimenta furatur, per Jovem, ille perfodit parietes,
Fullonem alter agit, alius pelles lavat,
Coria hic concinnat, ille cepas venditat,
Plu. Ah me miſerum! hæc me antea latuerunt.
Chr. Rex autem iſte magnus nonne propter hunc ſeſe effert?
Car. Comitia verò nonne propter hunc fiunt?
Chr. Quid autem? Nonne tu triremes comples? Dic mihi.
Car. Mercenarium autem in Corintho militem nonne hic alit?
Chr. Pamphilus verò nonne propter hunc pœnas daturus eſt?
Car. Et Belonopoles etiam ſimul cum Pamphilo.
Chr. Argyrius etiam nonne propter hunc immodeſtè pedit?

Car.

Car. Philepſius autem nonne tui gratia narrat fabulas?
Chr. Auxilium verò nonne per te Ægyptiis mittitur?
Car. Lais autem nonne propter te Philonidem amat?
Chr. Timothei vero turris? *Car.* In te decidat ſcil.
Chr. Quæcunque autem fiunt nonne per te fiunt?
Solus enim omnino tu es omnium cauſa
Tam malorum quam bonorum, hoc certò ſcias.
Car. Vincunt etiam in bello plerumque ii
Quibus hic propendet ſolus.
Plu. Egone unus tot res efficere poſſum?
Chr. Imo per Jovem, etiam his multo plura,
Ita ut ne tui ſatur quidem unquam quiſquam fuerit.
Aliarum enim rerum omnium eſt ſatietas.
Amoris. *Car.* Panum. *Chr.* Muſicæ. *Car.* Bellariorum.
Chr. Honoris. *Car.* Placentarum. *Chr.* Strenuitatis. *Car.* Caricarum.
Chr. Ambitionis. *Car.* Polentæ. *Chr.* Imperii militaris. *Car.* Lenticulæ.
Chr. Tui autem nemo vel unquam ſatur fuit,
Sed ſi quis talenta tredecim acceperit
Multo magis ſedecim accipere cupit,
Et ſi hæc impetraverit quadraginta poſtulat,
Aut aliter ſibi vitam non eſſe vitalem dicit.
Plu. Rectè quidem mihi videmini dicere omnino,
Veruntamen unum eſt ſolum quod metuo. *Chr.* Dic mihi qua de re.
Plu. Ut ego poteſtatis, quam vos dicitis
Habere me, hujus unquam compos fiam.
Chr. Imo per Jovem, ſed hoc eſt quod omnes dicunt.
Omnium rerum timidiſſimam eſſe Plutum. *Plu.* Minime ſed me
Fur nocturnus quidam calumniatus eſt, quum enim olim irrepſiſſet
In ædes, nihil inde auferre potuit

(Quum

(Quum omnia reperiſſet obſerata)
Tum providentiam meam formidinem appellavit.
Chr. Nihil jam prorſus tibi curæ ſit, ſi modo fueris
Ipſe tu vir paratus ad hæc negotia,
Videre ſe faciam vel Lynceo perſpicaciùs.
Plu. Quomodo hoc facere poteris, qui mortalis ſis?
Chr. Spem magnam habeo ex iis quæ mihi dixit
Phœbus ipſe Pythicam quatiens laurum.
Plu. Num iſte ergo horum conſcius eſt? *Chr.* Aio equidem.
Plu. Cavete. *Chr.* Nihil te ſolicitet, bone vir,
Ego enim (ne ſis neſcius) & ſi me mori oporteat
Ipſemet hæc perficiam. *Car.* Et ſi tibi placet ego etiam.
Chr. Multi autem alii nobis auxilio erunt,
Quicunque nempe juſti victum non habent.
Plu. Papæ! miſeros mihi adjutores narras.
Chr. Minime quidem, ſi modo diteſcant rurſus denuò
Sed abi tu curriculo percurrens. *Car.* Quid faciam, cedo?
Chr. Accerſe mihi ſocios agricolas (invenies autem forte
Rure ipſos labori miſere intentos)
Ut æqualem unuſquiſque huc adveniens
Nobiſcum capiat hujuſce Pluti partem.
Car. Jam eo, hanc autem carunculam
Domeſticorum aliquis intro ferat.
Chr. Hoc mihi curæ erit, at cito curre.
Tu autem, O præſtantiſſime Deorum omnium Plute,
Huc mecum ingredere, domus enim
Hæc eſt quam opus eſt opibus hodie
Repleas per fas & nefas.
Plu. At, ita me dii ament, ægrè fero cum ingredior
Crebro domum prorſus alienam,
Boni enim nihil unquam illic adeptus ſum.
Si enim ad parcum forte ingreſſus fuero,
Continuo me defodit in terram deorſum,

Et

Et ſi quis probus acceſſerit amicus,
Rogans ut paululum quiddam pecuniolæ accipiat,
Statim negat ſe vel unquam me vidiſſe.
At ſi forte ad vecordem ingreſſus fuero,
In ſcorta & aleas projectus,
Nudus protrudor foras momento temporis.
Chr. Nempe quia nunquam in hominem moderatum incidiſti.
At ego moribus hujuſmodi mire præditus ſum ſemper.
Lubens enim comparco (ut nemo magis)
Et rurſus ſumptus facio quando his opus eſt.
Sed eamus intro; volo utique ut te videant
Et uxor mea & filius unicus,
Quem ego poſt te maxime deamo. *Plu.* Credo.
Chr. Cur enim tibi quis vera non dicat?

ACTUS SECUNDI.

SCENA PRIMA.

CARION, CHORUS.

Car. O Qui ſæpe eandem cum hero cepam manducâſtis,
Viri Amici, & populares, & laboris ſtudioſi,
Ite, properate, feſtinate, quoniam cunctandi tempus non eſt:
Sed in ipſo articulo eſt, quo vos præſentes oportet ſuppetias ire.
Cho. Quin ergo vides nos dudum progredientes prompto animo,
Quantum *fieri* par eſt ab imbecillis ſenibus jam viris.
Tu autem me forte currere vis priuſquam mihi dixeris,
Quapropter herus tuus nos huc accerſiverit.
Car. Atqui dudum ſane dixi, tu autem ipſe non audis:
Herus enim dicit, vos omnes ſuaviter
Victuros, hâc frigida miſeraque vita liberatos.

Cho. Quid autem hoc ſibi vult? aut unde hoc quod dicit *in mentem illi venit?*

Car. Huc venit modò ſecum ferens ſenem quendam, O ruſtici,
Squalidum, gibboſum, miſerum, rugoſum, calvum, edentulum,
Credo quoque, per Cœlum, etiam verpum illum eſſe

Cho. O aurea mihi verba nuncians! quid ais? dic mihi rurſum:
Nam præ te fers quaſi veniret pecuniarum cumulum ſecum ferens.

Car. Senilium quidem malorum cumulum habere, ego autumo.

Cho. Cenſen' te qui ſic nos ludificaris, evaſurum
Impunè præſertim cùm ego ſcipionem geſtem?

Car. Omninò igitur hominem me talem ad hæc omnia natura comparatum
Exiſtimatis, neque quicquam ſani poſſe dicere putatis?

Cho. Quantum gravitatis præ ſe fert hic verbero? crura autem tua clamant
Heu, heu, dum vincula & compedes expeteſſunt.

Car. In Tumulo jam litera tua judicandi munus ſortita eſt:
Tu vero non abis, Atqui Charon tibi Symbolum dat.

Cho. Diſrumparis: ut moleſtus es, & ad vafra maleficia natus,
Qui ſic nos ludos facis, dicere vero nobis nondum dignatus es,
Quamobrem herus tuus me huc accerſiverit.
Qui multis enecti laboribus, cum nullum erat otium, prompte
Huc advenimus, multarum ceparum radices prætergreſſi.

Car. Aut non celabo diutius; Plutum enim, ô viri, venit
Secum adducens herus, qui nos divites reddet.

Cho.

Cho. Num reverà igitur licet nos omnes fieri divites?
Car. Etiam, ita me dii ament, Midas profecto, ſi aures aſininas vobis habeatis.
Cho. Ut lætor, & delector, & ſaltare geſtio
Præ gaudio, ſiquidem hæc vera omnino prædicas!
Car. Et profecto ego percupio, threttanelò, Cyclopem
Imitatus, atque pedibus hunc in modum tripudians,
Vos ducere. *At agite filioli frequenter acclamantes,*
Balanteſque ovium
Caprorumque fœtentium modulo.
Cho. Nos autem viciſſim quæremus, Threttanelo balantes, Cyclopem
Huncce te famelicum nacti,
Peram geſtantem atque olera agreſtia roſcida, ebrium
Ovibus præeuntem,
Forſan etiam ſomno alicubi oppreſſum,
Adhibito palo ingenti præuſto excæcare.
Car. Ego vero Circen illam venena miſcentem
(Quæ Philonidæ ſocios olim in Corintho
Perſuaſit itidem ac ſi ſues eſſent,
Subactum ſtercus ut comederent quod ipſa illis ſubegerat)
Omni modo imitabor.
Vos autem grunnientes præ voluptate,
Matrem ſequimini Porci.
At agite nunc, omiſſis jam cavillis,
Vos in aliam ſpeciem convertimini.
Ego autem jam abiens, clam hero
Pane carnibuſque ſurreptis, volo,
Cùm quod reliquum eſt comedero, ita huic operi intereſſe.

ACTUS SECUNDI SCENA SECUNDA.

CHREMYLUS, CHORUS.

Chr. SAlvere ſi vobis dixero, ô viri populares.
Vetus eſt ſalutandi formula ac putida.
Amplector autem, quod promptè adeſtis
Parateque nec remiſſo gradu.
Volo autem ut cum in cæteris aſtipulatores mihi
Sitis, tum *præſertim* conſervatores *hujuſce* Dei.
Cho. Bono animo es: videre enim me planè tanquam Martem videberis.
Mirum enim ſi teruncii gratia quidem
Huc illuc protrudamur quotidie in conventibus,
Ipſum autem Plutum cuiquam capiendum cedam.
Chr. At enim video Blepſidemum etiam hunc *noſtrum*
Huc accedentem: palam autem eſt hoc de negotio
Ipſum aliquid reſciviſſe & inceſſu & propero gradu.

ACTUS SECUNDI SCENA TERTIA.

BLEPSIDEMUS, CHREMYLUS.

Bl. QUID hoc rei eſt, obſecro? unde & quo pacto
Chremylus inopinatò dives evaſit? vix credo,
Tametſi mehercule ſermo frequens erat,
In ore illorum qui in tonſtrinis deſident,
Quam repente dives ille factus ſit.
Eſt autem mihi hoc ipſum mirandum etiam, *unde fiat*, ut,
Cum fortuna proſpera utatur, amicos accerſat,
Patriæ moribus conſentaneam rem profecto haud agit.

Chr.

Chr. At nihil *hominem* celans dicam; ita me Dî ament,
O Blepſideme, melius quam heri nobiſcum agitur,
Ita ut tibi participare liceat; ex amicorum enim numero es.
Bl. Factuſne igitur es re vera, prout fama eſt, dives?
Chr. Futurus ſum ſtatim quidem, ſi Deus annuat.
Ineſt enim, ineſt huic rei periculum.
